ἐπ᾽ ἐλευθερίαν δὲ τὴν σωφροσύνην πεπορισμένοι. ταῦτα
to freedom and the chastity having-provided these(-things)
μὲν οὖν διῳκήσαντο τῇδε.
indeed then they-managed thus

7 παρὰ ταύτην δὲ τοῦ πορθμοῦ τὴν ἀκτήν, ἥ ἐστιν
beside this and of-the strait the headland which is
ἐν δεξιᾷ εἰσπλέοντι τὸν Εὔξεινον καλούμενον πόντον,
on right for-one-sailing-into the Euxine called sea
βασίλεια πρότερον ὄντα μοναστήριον μεγαλοπρεπὲς
palaces formerly being monastery magnificent
κατεστήσαντο καταγώγιον ταῖς μεταμελουμέναις γυναιξὶν
they-made residence for-the repenting women
ἐπὶ τῷ προτέρῳ βίῳ ἐσόμενον·
for the former life being-going-to-be

8 ἐφ᾽ ᾧ δὴ ἐνταῦθα περί τε τὸν θεὸν καὶ τὴν εὐσέβειαν
on condition indeed there about both — God and the piety
ἀσχολίᾳ γενησομένῃ περικαθῆραι τὰς ἁμαρτάδας δυναταὶ
with-occupation going-to-be to-purge the sins able
εἶεν τῆς ἐν μαστροπείῳ διαίτης.
they-might-be of-the in brothel way-of-life

9 διὸ καὶ Μετάνοιαν τοῦτο δὴ τῶν γυναικῶν τὸ
wherefore also Repentance this indeed of-the women the
διαιτητήριον ὁμωνύμως τῷ ἔργῳ ἐπονομάζουσι.
residence by-a-name-the-same-as the deed they-call

καὶ πολλαῖς μὲν χρημάτων προσόδοις οἱ βασιλεῖς οὗτοι 10
and with-many indeed of-money revenues the sovereigns these
τοῦτο τὸ μοναστήριον δεδώρηνται, πολλὰ δὲ οἰκία
this the monastery have-endowed many and houses
κάλλει τε καὶ πολυτελείᾳ διαφερόντως ἐξαίσια, ταῖς
in-beauty both and in-costliness exceptionally extraordinary for-the
γυναιξὶ παραψυχὴν ἐσομένην, ᾠκοδομήσαντο, ὡς μηδενὶ
women consolation being-going-to-be they-built so-that by-no-one
ἀναγκασθεῖσαι πρὸς τὰ τῆς σωφροσύνης ἐπιτηδεύματα
compelled toward the of-the chastity pursuits
τρόπῳ ὁτῳοῦν ἀποκνήσουσι. ταῦτα μὲν οὖν τῇδέ
in-way any-whatever they-will-shrink these(-things) indeed then thus
πη ἔχει.
somehow stand

Ἐς δὲ τὸν Εὔξεινον πόντον ἐνθένδε ἰόντι ἄκρα 11
to and the Euxine sea thence for-one-going headland
τις ἀπορρὼξ παρὰ τὴν τοῦ πορθμοῦ προβέβληται
a-certain sheer beside the of-the strait juts-out
ἠιόνα, ἐφ᾽ ἧς μαρτύριον Παντελεήμονος εἱστήκει ἁγίου,
shore on which a-martyrium of-Panteleemon stood saint
ἀρχήν τε ἀπημελημένως πεποιημένον καὶ χρόνῳ
at-the-beginning both carelessly made and by-time
μακρῷ πεπονηκὸς ἄγαν ὅπερ ἐνθένδε περιελὼν
long having-labored very which-very-thing thence having-pulled-down
Ἰουστινιανὸς βασιλεύς, τοῦτόν τε μεγαλοπρεπῶς τὰ
Justinian emperor this and magnificently the
μάλιστα οἰκοδομησάμενος τὸν ἐκείνῃ τανῦν ὄντα νεών,
most having-built the there now being temple
τῷ τε μάρτυρι διεσώσατο τὴν τιμὴν καὶ τῷ πορθμῷ
for-the both martyr preserved the honor and to-the strait
κάλλος ἐντέθεικεν, ἑκατέρωθι τὰ ἱερὰ ταῦτα πηξάμενος.
beauty he-has-added on-each-side the sanctuaries these having-fixed

12 τούτου δὲ τοῦ τεμένους ἐπίπροσθεν ἐν χώρῳ τῷ καλουμένῳ
of-this and the precinct in-front in place the called
Ἀργυρωνίῳ πτωχῶν ἦν ἐκ παλαιοῦ καταγώγιον,
Argyronium of-beggars there-was from old a-hostel
οἷσπερ ἡ νόσος τὰ ἀνήκεστα ἐλωβήσατο.
whom-indeed the disease the incurable-things disfigured
13 ὅπερ τῷ χρόνῳ κατερρωγὸς ἤδη τὰ ἔσχατα
which-very by-the time broken-down already the uttermost
προθυμίᾳ τῇ πάσῃ ἀνενεώσατο, γενησόμενον τοῖς οὕτω
with-zeal the all he-renewed being-going-to-be for-those thus
ταλαιπωρουμένοις ἀνάπαυλαν. ἀκτὴ δέ τις ἐστι
suffering rest headland and a-certain is
Μωχάδιον ὄνομα τοῦ χώρου ἐγγύς, ὃ καὶ νῦν Ἱερὸν
Mochadium by-name of-the place near which also now Hieron
ὀνομάζεται.
is-named
14 ἐνταῦθα ναὸν τῷ ἀρχαγγέλῳ ἐδείματο ἱεροπρεπῆ τε
there a-temple to-the archangel he-built befitting-a-sanctuary both
διαφερόντως, καὶ τῶν τοῦ ἀρχαγγέλου ἱερῶν, ὧνπερ
exceptionally and of-the of-the archangel sanctuaries which-very
ἐπεμνήσθην ἀρτίως, οὐδενὸς ἀξιώματι ἀποδέοντα.
I-mentioned just-now to-none in-dignity falling-short
15 καὶ Τρύφωνι δὲ ἀνέθηκεν ἱερὸν μάρτυρι πόνῳ τε καὶ
and to-Trypho too he-dedicated a-sanctuary martyr with-toil both and
χρόνῳ πολλῷ ἐς κάλλος ἀποτετορνευμένον ἀμύθητον ὅλως
with-time much into beauty fashioned unspeakable wholly
ἐν τῇ τῆς πόλεως ἀγυιᾷ, ἣ τοῦ πελάργου ἐπώνυμός ἐστιν.
in the of-the city street which of-the stork named is
16 ἔτι δὲ Μηνᾷ καὶ Μηναίῳ μάρτυσιν ἕδος ἐν τῷ Ἑβδόμῳ
still and to-Menas and to-Menaeus martyrs a-shrine in the Hebdomon
ἀνέθηκεν. ἐν ἀριστερᾷ δὲ εἰσιόντι ἐς τὰς χρυσᾶς
he-dedicated on left and for-one-entering into the golden

καλουμένας πύλας τῆς ἁγίας Ἴας μαρτύριον εὑρὼν
called gates of-the saint Ia martyrium having-found
καταπεπτωκός, πολυτελείᾳ τῇ πάσῃ ἀνενεώσατο.
fallen-down with-costliness the all he-renewed
τὰ μὲν οὖν ἀμφὶ τοῖς ἐν Βυζαντίῳ ἱεροῖς εἰργασμένα 17
the-things indeed then about the in Byzantium sanctuaries done
Ἰουστινιανῷ βασιλεῖ τοιαῦτά ἐστι. τὰ δὲ ἀνὰ πᾶσαν
by-Justinian emperor such(-things) are the-things but through all
διαπεπονημένα τὴν Ῥωμαίων ἀρχὴν ἕκαστα διαριθμεῖσθαι
worked-out the of-Romans empire each to-count
χαλεπόν τέ ἐστι καὶ λόγῳ παντελῶς ἄπορον.
hard both is and in-speech altogether impossible
ἀλλ᾽ ἡνίκα ἡμῖν δεήσει πόλεως ἢ χωρίου του πρὸς 18
but when for-us it-shall-be-needful of-city or of-place some by
ὄνομα ἐπιμνησθῆναι, καὶ τὰ ἐνταῦθα ἱερὰ ἐν ἐπιτηδείῳ
name to-make-mention also the there sanctuaries in fitness
γεγράψεται.
will-be-written

X · THE CHALKE AND THE SENATE HOUSE

Justinian rebuilt the palace, the Chalke, the baths of Zeuxippus, and the colonnades after the fire, and built the Senate house east of the Augustaeum. The vestibule, the Chalke, has a dome whose mosaics show Justinian victorious in Italy and Libya under Belisarius, and the emperor and Theodora receiving the captive kings of the Vandals and the Goths.

1 Τὰ μὲν οὖν ἀμφὶ τοῖς ἱεροῖς ἔν τε Κωνσταντινουπόλει
the-things indeed then about the sanctuaries in both Constantinople
καὶ τοῖς τῇδε προαστείοις οὕτως Ἰουστινιανῷ δεδημιούργηται
and the there suburbs thus by-Justinian have-been-built
βασιλεῖ.
emperor

2 τῶν δὲ ἄλλων αὐτῷ οἰκοδομημάτων πεποιημένων ἕκαστον
of-the and other by-him buildings made each
μὲν ἐπελθεῖν οὐ ῥᾴδιον λόγῳ, ὡς ἐν κεφαλαίῳ δὲ
indeed to-go-through not easy in-speech as in summary but
φράσαι, τά τε πλεῖστα καὶ ἀξιολογώτατα τῆς τε
to-tell the-things both most and most-noteworthy of-the both
ἄλλης πόλεως καὶ τῶν βασιλείων καταφλεχθέντα τε καὶ
other city and of-the palaces burned both and
καθῃρημένα ἐπ᾽ ἔδαφος ἀνοικοδομησάμενος ἅπαντα ἐπὶ
pulled-down to ground having-rebuilt all to
τὸ εὐπρεπέστερον μετεστήσατο· ἅπερ μοι ἐν τῷ παρόντι
the more-comely he-changed which by-me in the present
λεπτολογεῖσθαι οὔτι ἀναγκαῖον ἔδοξεν εἶναι.
to-go-into-detail not-at-all necessary seemed to-be

3 ἅπαντα γάρ μοι ἐς τὸ ἀκριβὲς ἐν τοῖς ὑπὲρ τῶν πολέμων
all for by-me to the exact in the about the wars
δεδήλωται λόγοις. τοσοῦτον δὲ μόνον ἔν γε τῷ παρόντι
has-been-shown books so-much and only in at-least the present
γεγράψεται, ὡς τῶν βασιλείων τά τε προπύλαια καὶ ἡ
will-be-written that of-the palaces the both propylaea and the
καλουμένη Χαλκῆ μέχρι ἐς τὸν Ἄρεος καλούμενον οἶκον,
called Chalke as-far-as to the of-Ares called hall
ἔκ τε τῶν βασιλείων τό τε βαλανεῖον ὁ Ζεύξιππος αἵ
from and the palaces the both bath the Zeuxippus the
τε μεγάλαι στοαὶ καὶ τὰ ἑκατέρωθεν ἑξῆς ἅπαντα
both great colonnades and the-things on-each-side in-order all

μέχρι ἐς τὴν ἀγοράν, ἣ Κωνσταντίνου ἐπώνυμός ἐστι,
as-far-as to the market which of-Constantine named is
τούτου δὴ ἔργα τοῦ βασιλέως τυγχάνει ὄντα.
of-this indeed works of-the emperor happen being
πρὸς ἐπὶ τούτοις δὲ τὴν Ὁρμίσδα ἐπώνυμον οἰκίαν, 4
besides on these and the of-Hormisdas named house
ἄγχιστα οὖσαν τῶν βασιλείων, παραλλάξας τε καὶ ὅλως
very-near being of-the palaces having-altered both and wholly
ἐς τὸ ἐπιφανέστερον μεθαρμοσάμενος, ὡς τοῖς βασιλείοις
to the more-illustrious having-refashioned as to-the palaces
ἐπιεικῶς πρέπει, τῷ παλατίῳ ἐντέθεικεν, εὐρύτερόν τε
fittingly befits into-the palace he-has-put wider both
αὐτὸ καὶ πολλῷ ἔτι μᾶλλον ἀξιώτερον ταύτῃ ἐξείργασται.
it and by-much still more more-worthy thus he-has-wrought
Ἔστι δέ τις ἀγορὰ πρὸ τῶν βασιλείων περίστυλος. 5
there-is and a-certain market before the palaces colonnaded
Αὐγουσταῖον καλοῦσι τὴν ἀγορὰν οἱ Βυζάντιοι. ταύτης
Augustaeum call the market the Byzantines this
ἐν λόγοις ἐπεμνήσθην τοῖς ἔμπροσθεν, ἡνίκα τῆς Σοφίας
in books I-mentioned the earlier when of-the Wisdom
περιηγησάμενος τὸν νεὼν τὴν ἐπὶ τῷ ἔργῳ χαλκῆν εἰκόνα
having-described the temple the at the work bronze image
τῷ βασιλεῖ ἐπὶ κίονος ὑψηλοτάτου καὶ λίθοις συνθέτου
to-the emperor on column very-high and of-stones composed
ἀνατεθεῖσαν δεδήλωκα.
dedicated I-have-shown
ταύτῃ ἐς τὰ πρὸς ἕω τῆς ἀγορᾶς τὸ βουλευτήριον 6
on-this to the-parts toward east of-the market the council-house
ἵδρυται, λόγου μὲν τῇ τε πολυτελείᾳ καὶ τῇ κατασκευῇ
is-set-up than-account indeed in-the both costliness and in-the construction
τῇ πάσῃ κρεῖττον, Ἰουστινιανοῦ δὲ βασιλέως ἔργον.
the all greater of-Justinian and emperor a-work

7 ἔνθα δὴ ξυνιοῦσα ἔτους ἀρχομένου ἡ Ῥωμαίων βουλὴ
where indeed coming-together at-year beginning the of-Romans council
σύγκλητος ἐνιαύσιον ἑορτὴν ἄγει, τὰ τῆς πολιτείας
assembled annual festival keeps the of-the state
ὀργιάζουσα ἐς ἀεὶ νόμιμα.
celebrating for ever customary-rites

8 ἓξ δὲ αὐτοῦ κίονες ἐπίπροσθεν ἑστᾶσιν, οἱ μὲν δύο
six and of-it columns in-front stand the indeed two
τὸν τοῦ βουλευτηρίου τοῖχον ἐν μέσῳ ἔχοντες, ὃς πρὸς
the of-the council-house wall in middle having which toward
δύοντα ἥλιον τέτραπται, οἱ δὲ τέσσαρες ὀλίγῳ ἐκτός,
setting sun has-been-turned the and four a-little outside
τὸ μὲν εἶδος λευκοὶ ἅπαντες, μέγεθος δὲ πρῶτοι τῶν
the indeed form white all in-size and first of-the
ἐν γῇ, οἶμαι, κιόνων τῇ πάσῃ.
on earth I-think columns the all

9 στοὰν δὲ ποιοῦσιν οἱ κίονες ὄροφον ἐν θόλῳ ἑλίττουσαν,
colonnade and make the columns ceiling in dome rolling
τὰ δὲ ἄνω τῆς στοᾶς ἅπαντα μαρμάρων μὲν κάλλει
the-parts and above of-the colonnade all of-marbles indeed with-beauty
διακεκόσμηται τοῖς κίοσι τὸ εἶδος ἴσων, ἀγαλμάτων δὲ
are-adorned to-the columns the form equal of-statues and
πλήθει ὑπεράνω ἑστώτων θαυμασίως ὡς ὑπογέγραπται.
with-multitude above standing marvelously as it-has-been-sketched

10 Ταύτης δὲ τῆς ἀγορᾶς οὐ πολλῷ ἄποθεν τὰ βασιλέως
of-this and the market not far from the of-emperor
οἰκία ἐστί, καὶ νέα μὲν τὰ βασίλεια σχεδόν τι πάντα,
houses are and new indeed the palaces almost — all
Ἰουστινιανῷ δέ, ἥπερ μοι εἴρηται, δεδημιούργηται
by-Justinian and as-indeed by-me has-been-said have-been-built
βασιλεῖ, φράσαι δὲ αὐτὰ λόγῳ ἀμήχανά ἐστιν, ἀλλ'
emperor to-tell and them in-speech impossible is but

ἀποχρήσει μὲν τοὺς γενησομένους εἰδέναι ὅτι δὴ ἅπαντα
it-will-suffice indeed those going-to-be to-know that indeed all
τούτου δὴ ἔργον τοῦ βασιλέως τυγχάνει ὄντα.
of-this indeed work of-the emperor happen being
ὥσπερ δέ φασι, τὸν λέοντα ἐξ ὄνυχος ἴσμεν, καὶ τούτων 11
as and they-say the lion from claw we-know also of-these
δὴ οὕτω τῶν βασιλείων δύναμιν ἐκ τοῦ προτεμενίσματος
indeed thus the palaces power from the vestibule
οἱ τάδε ἀναλεγόμενοι εἴσονται. τοιοῦτον δὲ τὸ
those these(-things) reading will-know such and the
προτεμένισμά ἐστιν ὃ καλοῦσι Χαλκῆν.
vestibule is which they-call Chalke
ὄρθιοι οἱ τοῖχοι οὐρανομήκεις ἐν τετραγώνῳ ἑστᾶσι 12
upright the walls sky-high in square stand
τέσσαρες, τὰ μὲν ἄλλα ἰσοστάσιοι ἀλλήλοις ὄντες,
four the indeed other-things equal to-each-other being
μήκει δὲ ἄμφω, ὅ τε πρὸς μεσημβρίαν τετραμμένος καὶ
in-length and both the both toward south turned and
βορρᾶν ἄνεμον, τῶν ἑτέρων οὐ παραπολὺ ἀποδέοντες.
north wind than-the others not by-much falling-short
προβέβληται δέ τις ἀμφὶ τὴν γωνίαν αὐτῶν ἑκάστου λίθων 13
juts-out and some about the angle of-them each of-stones
εὖ μάλα εἰργασμένων ἀνάστασις, τῷ τοίχῳ μέχρι ἐς
well very wrought a-projection to-the wall as-far-as to
τὴν ὑπερβολὴν ἐξ ἐδάφους συναναβαίνουσα, τετράπλευρος
the top from floor rising-together four-sided
μέν, ἐνημμένη δὲ κατὰ τὴν μίαν τῷ τοίχῳ πλευράν,
indeed attached but along the one to-the wall side
οὐ διακόπτουσα τοῦ χωρίου τὸ κάλλος, ἀλλά τι καὶ
not cutting-through of-the place the beauty but something also
κόσμου αὐτῷ ἐντιθεῖσα τῇ τοῦ ἐμφεροῦς ἁρμονίᾳ.
of-ornament to-it adding by-the of-the similar harmony

14 ὑπερηώρηνται δὲ αὐτῶν ἀψῖδες ὀκτώ, τέσσαρες μὲν
are-hung-above and them arches eight four indeed
ἀνέχουσαι τὸν ἐν μέσῳ τοῦ παντὸς ὄροφον ἐν σφαιροειδεῖ
holding-up the in middle of-the whole ceiling in spherical
μεταρσίῳ ἐπικυρτούμενον, αἱ δὲ δὴ ἄλλαι δύο μὲν
midair curving the and indeed others two indeed
πρὸς νότον, δύο δὲ πρὸς βορρᾶν ἄνεμον τῷ γειτνιῶντι
toward south two and toward north wind on-the neighboring
ἐναπερειδόμεναι τοίχῳ, τὸ μεταξὺ τέγος ἐν θόλῳ
leaning wall the between roof in dome
ἠωρημένον ἐξαίρουσιν.
hung raise

15 ἐναβρύνεται δὲ ταῖς γραφαῖς ἡ ὀροφὴ πᾶσα, οὐ τῷ
exults and in-the pictures the ceiling all not by-the
κηρῷ ἐντακέντι τε καὶ διαχυθέντι ἐνταῦθα παγεῖσα,
wax melted both and poured there fixed
ἀλλ᾽ ἐναρμοσθεῖσα ψηφῖσι λεπταῖς τε καὶ χρώμασιν
but fitted with-tesserae fine both and with-colors
ὡραϊσμέναις παντοδαπαῖς· αἳ δὴ τά τε ἄλλα ἅπαντα
beautified of-every-kind which indeed the both other-things all
καὶ ἀνθρώπους ἀπομιμοῦνται.
and men imitate

16 ὁποῖα δὲ αὐτῶν τὰ γράμματά ἐστιν ἐγὼ δηλώσω. ἐφ᾽
of-what-sort and of-them the pictures are I will-show on
ἑκάτερα μὲν πόλεμός τέ ἐστι καὶ μάχη, καὶ ἁλίσκονται
both-sides indeed war both is and battle and are-captured
πόλεις παμπληθεῖς πὴ μὲν Ἰταλίας, πὴ δὲ Λιβύης,
cities very-many sometimes indeed of-Italy sometimes and of-Libya
καὶ νικᾷ μὲν βασιλεὺς Ἰουστινιανὸς ὑπὸ στρατηγοῦντι
and conquers indeed emperor Justinian under general
Βελισαρίῳ, ἐπάνεισι δὲ παρὰ τὸν βασιλέα, τὸ στράτευμα
Belisarius returns and to the emperor the army

ἔχων ἀκραιφνὲς ὅλον ὁ στρατηγός, καὶ δίδωσιν αὐτῷ
having untouched whole the general and gives to-him
λάφυρα βασιλεῖς τε καὶ βασιλείας, καὶ πάντα τὰ
spoils kings both and kingdoms and all the-things
ἐν ἀνθρώποις ἐξαίσια.
among men extraordinary
κατὰ δὲ τὸ μέσον ἑστᾶσιν ὅ τε βασιλεὺς καὶ ἡ βασιλὶς 17
in and the middle stand the both emperor and the empress
Θεοδώρα, ἐοικότες ἄμφω γεγηθόσι τε καὶ νικητήρια
Theodora resembling both rejoicing both and victory-celebrations
ἑορτάζουσιν ἐπί τε τοῖς Βανδίλων καὶ Γότθων βασιλεῦσι,
keeping over both the of-Vandals and of-Goths kings
δορυαλώτοις τε καὶ ἀγωγίμοις παρ᾽ αὐτοὺς ἥκουσι.
captured-by-the-spear both and led-captive to them coming
περιέστηκε δὲ αὐτοὺς ἡ Ῥωμαίων βουλὴ σύγκλητος, 18
stands-around and them the of-Romans council assembled
ἑορτασταὶ πάντες. τοῦτο γὰρ αἱ ψηφῖδες δηλοῦσιν ἐπὶ
festival-keepers all this for the tesserae show on
τοῖς προσώποις ἱλαρὸν αὐτοῖς ἐπανθοῦσαι.
the faces cheerfulness for-them blossoming
γαυροῦνται οὖν καὶ μειδιῶσι τῷ βασιλεῖ νέμοντες ἐπὶ τῷ 19
they-exult then and smile to-the emperor assigning for the
ὄγκῳ τῶν πεπραγμένων ἰσοθέους τιμάς. ἠμφίασται
magnitude of-the-things done godlike honors has-been-clothed
δὲ μαρμάρων εὐπρεπείᾳ τὰ ἐντὸς ἅπαντα μέχρι ἐς
and of-marbles with-comeliness the-parts within all as-far-as to
τὰς ὑπεράνω ψηφῖδας, οὐχ ὅσα ἐπανέστηκε μόνον,
the above tesserae not as-much-as has-risen only
ἀλλὰ καὶ τὸ ἔδαφος ἐφεξῆς ὅλον.
but also the floor next whole

20 τῶν δὲ μαρμάρων ἔνια μὲν λίθου Σπαρτιάτου ἐκεῖ
of-the and marbles some indeed of-stone Spartan there
σμαράγδῳ ἴσα, ἔνια δὲ πυρὸς φλόγα μιμοῦνται· λευκὸν δὲ
to-emerald equal some and of-fire flame imitate white and
τῶν πλειόνων τὸ εἶδος, οὐ λιτὸν μέντοι, ἀλλ᾽ ὑποκυμαίνει
of-the most the form not plain however but it-undulates
κυαναυγεῖ ὑπογεγραμμένον μεταξὺ χρώματι. ταῦτα μὲν
with-dark-blue sketched between color these(-things) indeed
οὖν τῇδέ πη ἔχει.
then thus somehow stand

XI · THE ARCADIANAE, CISTERNS, AND HOSTELS

By the bath of the Arcadianae Justinian built a court on the sea, where walkers can talk with those sailing past, adorned with statues worthy of Phidias, Lysippus, or Praxiteles, among them Theodora on a purple column, which the city dedicated. Because the city ran short of water in summer, he dug a great cistern under the south colonnade of the court by the royal colonnade, where the advocates prepare their cases. He built palaces at the Heraeum and at Jucundianae, with a harbor made of sunken caissons and seawalls, and another harbor at Eutropius. For the petitioners who crowd into the city with nowhere to stay, he and Theodora built great hostels near the sea at the Stadium.

1 Ἐκ δὲ τῆς Προποντίδος ἐσπλέοντι ἐς τὰ πρὸς ἕω
from and the Propontis for-one-sailing-in to the-parts toward east
τῆς πόλεως, βαλανεῖον ἐν ἀριστερᾷ ἐν δημοσίῳ ἐστίν.
of-the city a-bath on left in public is
ὅπερ Ἀρκαδιαναὶ μὲν ἐπικαλεῖται, Κωνσταντινούπολιν
which-very Arcadianae indeed is-called Constantinople
δὲ πηλίκην οὖσαν ἐπικοσμεῖ.
and how-great being adorns

αὐλὴν ἐνταῦθα ὁ βασιλεὺς οὗτος ἐδείματο, τῆς μὲν πόλεως 2
a-court there the emperor this built of-the indeed city
προβεβλημένην, καὶ τοῖς μὲν ἐκείνῃ διατριβὴν ἔχουσιν
projecting and for-those indeed there stay having
ἐς περιπάτους ἀεὶ ἀνειμένην, ἐς δὲ τὸ ἐνορμίσασθαι
for walks always given-over for and the to-anchor
τοῖς περιπλέουσι.
to-those sailing-round

ταύτην ἥλιος καταλάμπει μὲν ἀνίσχων τῇ αἴγλῃ, 3
this sun lights-up indeed rising with-the radiance
ἐκτρεπόμενος δὲ ἀμφὶ τὰ πρὸς ἑσπέραν ἐν ἐπιτηδείῳ
turning and about the-parts toward evening in fitness
ἐπισκιάζει. ταύτην ἡ θάλασσα περιρρεῖ ἀτρεμὴς ἐν ἡσυχίᾳ
shades this the sea flows-round unshaken in calm
περιχεομένη τῷ ῥείθρῳ, ποταμοῦ τρόπον ἐκ πόντου
pouring-round with-the stream of-river in-manner from sea
ἰοῦσα· ὥστε καὶ προσδιαλέγονται τοῖς πλέουσιν οἱ
going so-that even converse with-those sailing those
τοὺς περιπάτους ποιούμενοι.
the walks making

ἡ γὰρ θάλασσα κατατείνουσα μὲν ἐς ἄβυσσον μέχρι 4
the for sea stretching indeed into abyss as-far-as
ἐς τῆς αὐλῆς τὴν κρηπῖδα πλώιμος ἐνταῦθα ταῖς ναυσὶ
to of-the court the base navigable there for-the ships
γίνεται, τῆς δὲ γαλήνης τῷ ὑπερβάλλοντι τοὺς ἑκατέρωθι
becomes of-the and calm by-the excess those on-each-side
ὄντας ἐπιμίγνυσιν ἐς τοὺς διαλόγους ἀλλήλοις.
being mingles into the conversations with-each-other

5 τὰ μὲν οὖν κατὰ τῆς θαλάσσης τὸ γειτόνημα τῇ αὐλῇ
the-things indeed then about of-the sea the neighborhood for-the court
τῇδέ πη ἔχει, καλλωπιζομένῃ μὲν τῇ ἐς αὐτὴν ὄψει,
thus somehow stand being-beautified indeed by-the toward it view
περιπνεομένῃ δὲ ἁπαλαῖς οὔσαις ταῖς ἀπ᾽ αὐτῆς αὔραις.
being-breathed-round and gentle being with-the from it breezes
6 καὶ κιόνων δὲ καὶ μαρμάρων κάλλει ὑπερφυεῖ τά τε
and of-columns too also of-marbles with-beauty extraordinary the both
αὐτῆς ἐδάφη καὶ τὰ ὕπερθεν καλύπτεται πάντα· ὧν
its floors and the-parts above are-covered all of-which
ἡ αἴγλη ὑπεράγαν λευκή τίς ἐστι, ταῖς τοῦ ἡλίου
the radiance exceedingly white a-certain is with-the of-the sun
αὐγαῖς ἐπιεικῶς ἀπαστράπτουσα.
rays fittingly flashing
7 καὶ μὴν καὶ εἰκόνες κοσμοῦσιν αὐτὴν παμπληθεῖς, αἱ μὲν
and indeed also images adorn it very-many the-ones indeed
χαλκαῖ, αἱ δὲ τῷ λίθῳ ἐπιξυσθεῖσαι, θέαμα λόγου
bronze the-others and on-the stone carved a-spectacle of-account
πολλοῦ ἄξιον. εἰκάσαις ἂν ἢ Φειδίου τοῦ Ἀθηναίου ἢ τοῦ
much worthy you-would-guess — either of-Phidias the Athenian or of-the
Σικυωνίου Λυσίππου ἔργον ἢ Πραξιτέλους αὐτὰς γεγονέναι.
Sicyonian Lysippus work or of-Praxiteles them to-have-been
8 ἐνταῦθα καὶ Θεοδώρα ἡ βασιλὶς ἐπὶ κίονος ἕστηκε·
there also Theodora the empress on column stands
τοῦτο γὰρ ἀνατέθεικεν ἡ πόλις αὐτῇ ὑπὲρ τῆς αὐλῆς
this for has-dedicated the city to-her for the court
χαριστήριον.
thank-offering
9 καὶ ἡ μὲν εἰκὼν εὐπρόσωπος, ἀλλὰ τῆς βασιλίδος τὸ
and the indeed image fair-faced but than-the empress the
κάλλος ἐλάσσων, ἐπεὶ αὐτῆς τὴν εὐπρέπειαν λόγῳ τε φράσαι
beauty less since her the comeliness in-speech both to-tell

καὶ ἰνδάλματι ἀπομιμεῖσθαι ἀνθρώπῳ γε ὄντι παντάπασιν
and in-image to-imitate for-man at-least being altogether
ἀμήχανα ἦν· ἁλουργὸς δὲ ὁ κίων καὶ πρὸ τοῦ ἐκτυπώματος
impossible was purple and the column and before the figure
ὅτι δὴ βασιλίδα φέρει διαφανῶς ἐνδεικνύμενος.
that indeed an-empress it-bears plainly showing
Ὅπερ δὲ ὕδατος εὐπορίας πέρι ἐνταῦθα διαπεπόνηται 10
what-very and of-water abundance about there has-been-worked-out
τῷ βασιλεῖ τούτῳ αὐτίκα δηλώσω. θέρους ὥρᾳ ἡ
by-the emperor this at-once I-will-show of-summer at-season the
βασιλὶς πόλις ὕδατος ὑπεσπάνιζεν ἐκ τοῦ ἐπιπλεῖστον,
imperial city of-water was-short from the for-most
καίπερ ἐς τοὺς ἄλλους καιροὺς διαρκὲς ἔχουσα.
although for the other times sufficient having
τοῦ γὰρ καιροῦ τηνικάδε αὐχμοὺς ἔχοντος ἐλασσόνως ἢ 11
the for time then droughts having less than
κατὰ τὰς ἄλλας ὥρας αἱ πηγαὶ τὸ ὕδωρ ἀποβλυστάνουσαι
in the other seasons the springs the water gushing-forth
καταδεεστέραν παρείχοντο τὴν ὀχεταγωγίαν τῇ πόλει.
scantier provided the conveyance-of-water to-the city
διὸ δὴ ὁ βασιλεὺς ἐπενόει τοιάδε. κατὰ τὴν 12
wherefore indeed the emperor devised such(-things) at the
βασιλέως στοάν, ἵνα δὴ τὰς δίκας παρασκευάζονται
imperial colonnade where indeed the lawsuits prepare
οἵ τε ῥήτορες καὶ εἰσαγωγεῖς καὶ εἴ τινες ἄλλοι τοῦ
the both advocates and introducers and if some others of-the
ἔργου τούτου ἐπιμελοῦνται, αὐλή τίς ἐστιν ὑπερμεγέθης,
work this take-care a-court a-certain is very-great
περιμήκης μὲν καὶ εὖρους ἱκανῶς ἔχουσα, ἐν τετραπλεύρῳ
oblong indeed and of-breadth sufficiently having in rectangle

δὲ περίστυλος οὖσα, οὐκ ἐπὶ γεώδους ἐδάφους τοῖς
and colonnaded being not on earthy ground for-those
αὐτὴν δειμαμένοις, ἀλλ᾽ ἐπὶ πέτρας πεποιημένη.
it having-built but on rock made

13 στοαὶ δὲ αὖ τὴν αὐλὴν περιβάλλουσι τέσσαρες, κατὰ
colonnades and again the court surround four along
πλευρὰν ἑκάστην ἑστῶσαι. τούτων τε οὖν τῶν στοῶν
side each standing of-these and then the colonnades
μίαν, ἥπερ αὐτῆς τέτραπται πρὸς ἄνεμον νότον, ἐς
one which-very of-it has-been-turned toward wind south into
βάθους μέγα τι χρῆμα κατορύξας Ἰουστινιανὸς βασιλεύς,
of-depth great some amount having-dug-out Justinian emperor
ἀποβαλλομένοις τῇ περιουσίᾳ κατὰ τὰς ἄλλας ὥρας
being-thrown-away by-the abundance in the other seasons
τοῖς ὕδασιν ἐς θέρος ἐν ἐπιτηδείῳ θησαυρὸν ἔθετο.
for-the waters for summer in fitness a-store he-placed

14 δεχόμενα γὰρ τὰ ἔλυτρα τάδε τοῦ ὀχετοῦ τὴν ἐπιρροὴν
receiving for the reservoirs these of-the aqueduct the inflow
ὑπερβλύζοντος στενοχωρουμένοις μὲν τοῖς ὕδασι τότε
overflowing for-being-cramped indeed the waters then
χαρίζεται χώραν, ποθεινῶν δὲ αὐτῶν γινομένων ἐπὶ
grants room longed-for and them becoming in
καιροῦ τοῖς δεομένοις παρέχεται πόρον.
time for-those needing provides supply

15 οὕτω μὲν μὴ προσδεῖν Βυζαντίοις ποτίμων ὑδάτων
thus indeed not to-be-in-need for-Byzantines of-drinkable waters
Ἰουστινιανὸς βασιλεὺς διεπράξατο.
Justinian emperor brought-about

16 Καὶ βασίλεια δὲ ἀλλαχόθι δεδημιούργηκεν αὐτὸς
and palaces too elsewhere has-built he-himself
καινουργήσας ἔν τε τῷ Ἡραίῳ, ὃ νῦν Ἱερεῖον ὀνομάζουσιν,
making-new in both the Heraeum which now Hiereum they-name

καὶ Ἰουκουνδιάναις ταῖς καλουμέναις· ὧν δὴ οὔτε τὸ
and Jucundianae the called of-which indeed neither the
μεγαλοπρεπὲς σὺν τῷ ἐς τέχνην ἠκριβωμένῳ, οὔτε τὸν ὄγκον
magnificence with the in art exactness nor the mass
ἂν σὺν τῷ εὐπρεπεῖ λόγῳ φράσαι ποτὲ ἱκανῶς ἔχοιμι.
— with the comeliness in-speech to-tell ever sufficiently I-could-be-able
ἀλλ' ἀποχρήσει ταῦτα εἰπεῖν βασίλειά τε εἶναι καὶ πρὸς 17
but it-will-suffice these(-things) to-say palaces both to-be and by
Ἰουστινιανοῦ γεγονέναι παρόντος τε καὶ ἐπιτεχνωμένου,
Justinian to-have-been-made present both and contriving
καὶ οὐδενὸς ἀπεριόπτου, ὅτι μὴ χρημάτων, καθισταμένου.
and nothing overlooked except — money being-appointed
ταῦτα γὰρ οὐχ οἷόν τέ ἐστι καὶ λόγῳ κρατεῖν.
these for not possible — is even in-speech to-master
ἐνταῦθα δὲ καὶ λιμένων σκέπας ἀποτετόρνευται οὐ 18
there and also of-harbors shelter has-been-fashioned not
πρότερον ὄν. ἀκτὴν γὰρ εὑρὼν ἑκατέρωθι τοῖς τε
before being headland for having-found on-each-side to-the both
ἀνέμοις καὶ ταραχῇ τοῦ ῥοθίου ἀποκειμένην, σωτήριον
winds and to-disturbance of-the surge exposed safe
εἶναι τοῖς πλέουσι κατεστήσατο ὧδε.
to-be for-those sailing he-made-(it) thus
τὰς κιβωτοὺς καλουμένας ἀναρίθμους τε καὶ παμμεγέθεις 19
the caissons called countless both and very-great
πεποιημένος, ἀμφοτέρωθέν τε αὐτὰς τῆς ἠιόνος
having-made on-both-sides and them of-the shore
ἐπιπλεῖστον ἐγκαρσίας ἀπορριψάμενος, ἀεί τε τῶν
for-most crosswise having-thrown always and of-the
προτέρων καθύπερθεν ἑτέρων ἐν τάξει ἐπιβολὴν ἐντιθέμενος,
former above others in order a-course putting-on
τοίχους πελαγίους ἀπεναντίους ἀλλήλων ἀνέστησε δύο ἐκ
walls in-the-sea opposite each-other he-raised two from

τῶν τῆς ἀβύσσου κρηπίδων μέχρι ἐς τὸ ὕδωρ, ὧν
the of-the abyss foundations as-far-as to the water on-which
δὴ αἱ νέες ἐναπερειδόμεναι πλέουσι.
indeed the ships leaning sail
20 πέτρας τε τὸ λοιπὸν ἀποτόμους ταύτῃ ἐμβέβληται. ὧν
rocks and for-the rest sheer here has-thrown-in which
δὴ πρὸς τοῦ ῥοθίου ἀρασσομένων, ἀποκρουομένων τε
indeed by the surge being-dashed repelling and
τὴν τοῦ κλυδωνίου ἐπίθεσιν, καὶ ἀνέμου χειμῶνος ὥρᾳ
the of-the breakers onslaught and of-wind of-winter at-season
καταβάντος σκληροῦ, διαμένει τὰ ἐντὸς ἡσυχῇ ἅπαντα
having-come-down harsh remain the-parts within calm all
τῶν τοίχων, μεταξὺ μιᾶς ἀπολελειμμένης ἐπὶ τὸν λιμένα
of-the walls between one being-left into the harbor
τοῖς πλοίοις εἰσόδου.
for-the vessels entrance
21 ἐνταῦθα δὲ καὶ ἱερὰ τεμένη πεποίηται, ἥπερ μοι
there and also sacred precincts have-been-made as-indeed by-me
ἔμπροσθεν δεδιήγηται, καὶ στοάς τε καὶ ἀγορὰς καὶ
before has-been-narrated and colonnades both and markets and
λουτρῶνας ἐν δημοσίῳ καὶ τὰ ἄλλα σχεδόν τι πάντα· ὥστε
baths in public and the other almost — all so-that
δὴ ταῦτα τῶν ἐν τῇ πόλει βασιλείων ἐλασσοῦσθαι μηδέν.
indeed these than-the in the city palaces to-be-less in-nothing
22 καὶ λιμένα δὲ ἄλλον ἐτεκτήνατο ἐν τῇ ἀντιπέρας ἠπείρῳ,
and harbor too another he-built on the opposite mainland
ἐν τοῖς Εὐτροπίου ἐπωνύμοις, τοῦ Ἡραίου τοῦδε οὐ
in the of-Eutropius named of-the Heraeum this not
πολλῷ ἄποθεν, κατὰ ταὐτὰ εἰργασμένον τοῖς ἄλλοις,
far from in-the same-way wrought as-the others
ὥνπερ ἐπεμνήσθην ἀρτίως.
which-very I-mentioned just-now

Τὰ μὲν Ἰουστινιανῷ βασιλεῖ ἐν πόλει δεδημιουργημένα τῇ 23
the-things indeed by-Justinian emperor in city built the
βασιλίδι, ὡς διὰ βραχυτάτων εἰπεῖν, ταύτῃ πη ἔχει. ὃ
imperial as through briefest to-say thus somehow stand what
δὲ μόνον ἡμῖν ἐνταῦθα δὴ ἀπολέλειπται αὐτίκα δηλώσω.
and only for-us here indeed has-been-left at-once I-will-show
τῇδε τοῦ βασιλέως τὰ διαιτητήρια ἔχοντος, διὰ μέγεθος 24
thus the emperor the residences having because-of greatness
τῆς βασιλείας, ἐκ πάσης γῆς ὅμιλος ἀνθρώπων τῇ
of-the empire from all earth crowd of-men into-the
πόλει παντοδαπὸς ἐπεισέρχεται.
city of-every-kind comes-in
παραγίνεται δὲ αὐτῶν ἕκαστος ἢ πράξει τινὶ 25
comes and of-them each either by-business some
ποδηγούμενος ἢ ἐλπίδι ἢ τύχῃ, πολλοὶ δέ τινες, οἷς
led or by-hope or by-chance many and some for-whom
δὴ τὰ κατὰ τὴν οἰκίαν οὐκ ἐν καλῷ κεῖται,
indeed the-things concerning the house not in good lie
βασιλέως δεησόμενοι, τῇ πόλει ἔνδημοι γίνονται διὰ
of-emperor going-to-beg in-the city residents become because-of
βίαν τινὰ ἢ πιέζουσαν ἢ ἐγκειμένην ἢ μέλλουσαν.
force some either pressing or lying-on or impending
οἱσπερ συμβαίνει πρὸς τῇ ἄλλῃ ἀμηχανίᾳ καὶ οἰκίας 26
for-whom-indeed it-happens besides the other helplessness also of-house
ὑποσπανίζειν, οὐχ οἵοις τε οὖσι τὴν ὑπὲρ τῆς ἐνταῦθα
to-be-short not able — being the for the there
διατριβῆς προέσθαι μίσθωσιν.
stay to-pay rent
ταύτην δὲ αὐτοῖς βασιλεύς τε Ἰουστινιανὸς καὶ ἡ βασιλὶς 27
this and for-them emperor both Justinian and the empress
Θεοδώρα τὴν ἀπορίαν διέλυσαν. τῆς γὰρ θαλάσσης
Theodora the perplexity resolved of-the for sea

ὡς ἀγχοτάτω, ἵνα δὴ Στάδιον ὁ χῶρος καλεῖται
as nearest where indeed Stadium the place is-called
(ἀγῶσι γάρ, οἶμαι, τὸ παλαιὸν ἀνεῖτό τισι) ξενῶνας
for-contests for I-think the old-time it-was-dedicated for-some hostels
ὑπερμεγέθεις ἐδείμαντο, τοῖς τὰ τοιαῦτα ταλαιπωρουμένοις
very-great they-built for-those the such(-things) suffering
ἐπὶ καιροῦ γενησομένους καταλυτήρια.
in time being-going-to-be lodgings

PROCOPIUS

ΠΕΡΙ ΚΤΙΣΜΑΤΩΝ

The Buildings, Book Two

I · THE WALLS OF DARAS

Having described the churches and buildings of Constantinople, Procopius turns to the fortifications with which Justinian walled the frontiers, beginning at the Median border. Anastasius had walled the obscure village of Daras near the Persian border as a fortress against the enemy, against Theodosius' treaty, building in haste while the Persians were held by a Hunnic war; the wall was low and badly laid, and snow and sun soon split most of its towers. Foreseeing a Persian siege with elephants, wooden towers, mounds, and engines, Justinian closed the battlements to loopholes, raised the wall to about thirty feet with a covered gallery and a second story of battlements, three at the towers, and built square works outside the split towers. He rebuilt the tower called the Guard's, raised the outer wall, dug a crescent-shaped ditch full of water on the soft southern side with a second outer wall inside it, and cleared away the mound of earth between the wall and the outer wall at the gates facing the place called Ammodius, from which enemies had dug tunnels unseen.

Ὅσα μὲν δὴ ἐπί τε Κωνσταντινουπόλεως καὶ τῶν 1
what-things indeed now in both Constantinople and the
ἐκείνῃ προαστείων ἱερὰ τεμένη βασιλεὺς Ἰουστινιανὸς νέα
there suburbs holy precincts emperor Justinian new
ἱδρύσατο, καὶ ὅσα καταπεπονηκότα διὰ χρόνου μῆκος
founded and what-things having-worn-out through of-time length
ἀνενεώσατο, τά τε ἄλλα οἰκοδομήματα, ὅσα δὴ
he-renewed the both other buildings what-things indeed
ἐνταῦθα πεποίηται, ἐν τῷ ἔμπροσθεν λόγῳ δεδήλωται.
there have-been-made in the previous account have-been-shown
τὸ δὲ λοιπὸν ἐπὶ τὰ ἐρύματα ἡμῖν ἰτέον, οἷσπερ 2
for-the and rest to the fortifications by-us (one)-must-go with-which
τὰς ἐσχατιὰς περιέβαλε Ῥωμαίων τῆς γῆς. ἔνθα δὴ
the extremities he-surrounded of-Romans of-the land where indeed
καὶ ταλαιπωρεῖσθαι τῷ λόγῳ τὰ μάλιστα ἐπάναγκες ἂν
also to-labor in-the account the most necessary —
εἴη καὶ τὰ ἀμήχανα διαπονεῖσθαι.
it-would-be and the impossible(-things) to-work-through

3 οὐ γὰρ τὰς πυραμίδας ἀφηγησόμεθα, τοῦτο δὴ τῶν ἐν
not for the pyramids we-shall-describe this indeed of-the-ones in
Αἰγύπτῳ βεβασιλευκότων τὸ διαθρυλούμενον ἐπιτήδευμα,
Egypt having-reigned the much-talked-of pursuit
ἐς χάριν ἀποκεκριμένον ἀνόνητον, ἀλλὰ τὰ ὀχυρώματα
for display set-apart useless but the strongholds
σύμπαντα, οἷς ὁ βασιλεὺς οὗτος τὴν βασιλείαν ἐσώσατο,
all with-which the emperor this the empire saved
τειχισάμενός τε αὐτὴν καὶ ἀμήχανον τοῖς βαρβάροις
having-walled both it and impossible for-the barbarians
καταστησάμενος τὴν ἐς Ῥωμαίους ἐπιβουλήν. ἐκ δὲ ὁρίων
having-made the against Romans plotting from and borders
τῶν Μηδικῶν ἄρξασθαι οὔ μοι ἀπὸ τρόπου ἔδοξεν εἶναι.
the Median to-begin not to-me from way it-seemed to-be
4 Ἐπειδὴ Μῆδοι ἀνεχώρησαν ἐκ Ῥωμαίων τῆς γῆς, πόλιν
when Medes withdrew from of-Romans the land city
αὐτοῖς Ἄμιδαν ἀποδόμενοι, ᾗπερ ἐν λόγοις τοῖς ὑπὲρ τῶν
to-them Amida having-sold as in accounts the-ones about the
πολέμων δεδήλωται, βασιλεὺς μὲν Ἀναστάσιος ἄγχιστά
wars has-been-shown emperor indeed Anastasius nearest
πη τῶν Περσικῶν ὅρων κώμην ἄδοξόν τινα τὰ
somewhere the Persian borders village obscure a-certain the
πρότερα οὖσαν, Δάρας ὄνομα, τείχει περιβαλεῖν διὰ
formerly being Daras by-name with-a-wall to-surround with
σπουδῆς ἔσχε, πόλιν τε αὐτὴν ἐπιτείχισμα ἐσομένην τοῖς
zeal had a-city and it a-fortress-against to-be for-the
πολεμίοις ἐργάσασθαι.
enemies to-make
5 ἐν δὲ ταῖς σπονδαῖς ἀπειρημένον, ἅσπερ ποτὲ βασιλεὺς
in and the treaties having-been-forbidden which once emperor
Θεοδόσιος ἔθετο πρὸς τὸ Περσῶν γένος, μηδετέρους ἐν
Theodosius made with the of-Persians race neither(-side) in

χωρίῳ οἰκείῳ ἐν γειτόνων που τοῖς τῶν ἑτέρων ὁρίοις
a-place own in neighborhood somewhere to-the of-the other(-side) borders
κειμένῳ ὀχύρωμα νεώτερόν τι ἐπιτεχνᾶσθαι, προτεινόμενοι
lying stronghold new any to-contrive putting-forward
Πέρσαι τὰς ἐπὶ τῇ εἰρήνῃ ξυνθήκας ἐμπόδιοι τῷ ἔργῳ
Persians the for the peace agreements hindering to-the work
σπουδῇ τῇ πάσῃ ἐγίνοντο, καίπερ Οὐννικοῦ πολέμου
with-zeal the all they-were although by-a-Hunnic war
πιεζόμενοι τῇ ἀσχολίᾳ.
being-pressed by-the occupation
Ῥωμαῖοι δὲ αὐτοὺς ἀπαρασκεύους διὰ ταῦτα ὁρῶντες 6
Romans and them unprepared because-of these(-things) seeing
ὀξύτερον τῆς οἰκοδομίας ἀντελαμβάνοντο, προτερῆσαι διὰ
more-sharply the building took-up to-get-ahead with
σπουδῆς ἔχοντες πρὶν οἱ πολέμιοι τὴν πρὸς Οὔννους
zeal having before the enemies the against Huns
ἀγώνισιν διαλύσαντες ἐπὶ σφᾶς ἴωσιν.
struggle having-ended against them should-come
ὑποψίᾳ οὖν τῇ ἐκ τῶν πολεμίων περίφοβοι ὄντες καὶ 7
by-suspicion then the-one from the enemies very-fearful being and
καραδοκοῦντες ἀεὶ τὰς ἐφόδους, οὐκ ἐς τὸ ἀκριβὲς τὴν
expecting always the attacks not to the exact(-point) the
οἰκοδομίαν ἐξῆγον, τοῦ τάχους αὐτοῖς τῷ ὑπερβάλλοντι
building they-carried-out the speed for-them by-the excess
τῆς σπουδῆς παραιρουμένου τὴν ἐς τὸ ἔργον ἀσφάλειαν.
of-the zeal taking-away the in the work security
τῷ γὰρ συντόμῳ τό γε ἀσφαλὲς οὐδαμῇ εἴωθε 8
with-the for haste the at-least security in-no-way is-wont
ξυνοικίζεσθαι, οὐδὲ τῷ ὀξεῖ τὸ ἀκριβὲς φιλεῖ ἕπεσθαι.
to-dwell-together nor with-the sharp the exactness loves to-follow

9 οὕτω τοίνυν ἐπισπερχῶς ἀπειργάσαντο τὴν τοῦ περιβόλου
thus therefore hastily they-completed the of-the circuit-wall
ἀνάστασιν οὐκ ἀνανταγώνιστον τοῖς πολεμίοις πεποιημένοι,
raising not unassailable for-the enemies having-made(-it)
ἀλλ᾽ ὅσον αὐτῷ ἀναγκαῖον ὕψος ἐνθέμενοι, οὐ μὴν
but as-much-as to-it necessary height having-put-in not indeed
οὐδὲ αὐτοὺς ἐμβεβλημένοι ἐν ἐπιτηδείῳ τοὺς λίθους,
not-even them having-laid in a-suitable(-way) the stones
ἢ αὐτῶν ἐν δέοντι εἰργασμένοι τὴν σύνθεσιν, ἢ τῷ
or their in needful(-way) having-worked the joining or with-the
τέλματι τῆς τιτάνου κατὰ λόγον ἐναρμοσάμενοι.
mortar of-the lime according-to reason having-fitted
10 χρόνου οὖν ὀλίγου (χιόσι τε γὰρ καὶ ἡλίου θέρμῃ τῷ
(in)-time then little by-snows both for and of-sun heat the
τῆς οἰκοδομίας σφαλερῷ ἀντέχειν οἱ πύργοι ὡς ἥκιστα
of-the building insecurity to-withstand the towers as least
εἶχον) διερρωγέναι αὐτῶν τοῖς πλείστοις ξυνέβη. οὕτω
were-able to-have-split of-them to-the most it-happened thus
μὲν τὰ πρότερα ἐν πόλει Δάρας τὰ τείχη ἀνέστη.
indeed the formerly in city Daras the walls stood
11 Ἔννοια δὲ Ἰουστινιανῷ βασιλεῖ γέγονεν ὡς οὐ περιόψονται
thought and to-Justinian emperor came that not will-overlook
Πέρσαι ὅσα γε δυνατὰ τοῦτο δὴ τὸ κατ᾽ αὐτῶν
Persians as-far-as at-least possible this indeed the against them
ἐπιτείχισμα Ῥωμαίοις ἑστάναι, ἀλλὰ πανοικεσίᾳ
fortress for-the-Romans to-stand but with-all-their-household
μὲν προσβαλοῦσι, τέχνας δὲ κινήσουσι πάσας ἐξ
indeed they-will-attack devices and they-will-set-in-motion all from
ἀντιπάλου τειχομαχήσειν τῆς πόλεως, καὶ ὅμιλος μὲν
opposite to-assault-the-walls of-the city and a-throng indeed
αὐτοῖς ἐλεφάντων ἕψεται, οἵσουσι δὲ ξυλίνους ἐπὶ τῶν
them of-elephants will-follow will-carry and wooden upon the

ὤμων οἱ ἐλέφαντες πύργους, οἷς ὑποκείμενοι ἀντὶ
shoulders the elephants towers which lying-under instead-of
θεμελίων ἑστήξουσι, καὶ τὸ δὴ χαλεπώτερον ἐν ἐπιτηδείῳ
foundations they-will-stand and the indeed harder in a-suitable(-way)
τοῖς πολεμίοις περιαγόμενοι, καὶ φέροντες τεῖχος γνώμῃ
for-the enemies being-led-around and carrying a-wall by-judgment
τῶν κεκτημένων ὅπη παρατύχοι ἑπόμενον·
of-the-ones owning(-them) wherever it-happen following
ἐπεμβαίνοντες δὲ οἱ πολέμιοι βαλοῦσι μὲν κατὰ κορυφὴν 12
mounting and the enemies will-shoot indeed from above
τοὺς ἔνδον Ῥωμαίους, ἐκ δὲ ὑπερδεξίων ἐπιθήσονται,
the inside Romans from and higher-ground will-attack
ἀλλὰ καὶ λόφους χειροποιήτους ἐπαναστήσουσι, καὶ
but also mounds handmade they-will-raise and
μηχανὰς τὰς ἑλεπόλεις ἐπάξονται πάσας.
engines the city-takers they-will-bring-up all
ἢν δέ τι τῇ πόλει Δάρας ἀξύμφορον ἐπιγένηται, πάσης 13
if and anything to-the city Daras harmful happen all
μὲν προβεβλημένῃ τῆς Ῥωμαίων ἀρχῆς, ἀντιτεταγμένῃ
indeed set-before of-the of-Romans empire set-against
δὲ τῇ πολεμίᾳ διαφανῶς, οὐκ ἄχρι τοῦδε ἡμῖν κείσεται
and to-the enemy-land manifestly not as-far-as this for-us will-lie
τὸ κακόν, ἀλλ᾽ ἡ πολιτεία κατασεισθήσεται ἐκ τοῦ
the evil but the state will-be-shaken for the
ἐπιπλεῖστον. ἐβούλετο δὲ διὰ ταῦτα ὀχύρωμα τῷ
most-part wished and because-of these(-things) a-stronghold for-the
χωρίῳ περιβαλεῖν ἐπαξίως τῆς χρείας.
place to-throw-around worthily of-the need
Πρῶτα μὲν οὖν τὸ τεῖχος (κολοβόν τε γὰρ ἦν κομιδῇ, 14
first indeed then the wall stunted both for it-was altogether
ἧπέρ μοι εἴρηται, καὶ τοῖς ἐπιοῦσι διὰ ταῦτα
as by-me has-been-said and for-the-ones attacking because-of these(-things)

ἐπιμαχώτατον) ἀπρόσοδόν τε καὶ ἄμαχον ὅλως τοῖς
most-assailable unapproachable both and unassailable wholly for-the
πολεμίοις ἐσκευάσατο εἶναι.
enemies he-made to-be

15 τὰς μὲν γὰρ ἐπάλξεις πρότερον οὔσας λίθων ἐνθήκῃ
the indeed for battlements formerly being by-insertion of-stones
συναγαγὼν ἀπέσφιγξεν ἐν στενῷ μάλιστα, ἴχνη
having-drawn-together he-closed in a-narrow(-space) most traces
αὐταῖς μόνα ἐς θυρίδων ἀπολιπὼν σχῆμα. τοσοῦτον
for-them only in of-windows having-left shape so-much
δὲ αὐτῶν συγκεχωρηκὼς ἀνεῳγέναι, ὅσον δὴ καὶ
and of-them having-allowed to-be-open as-much-as indeed also
χεῖρα διεῖναι, καὶ τῶν τοξευμάτων ἐξόδους ἐπὶ τοὺς
a-hand to-pass-through and of-the arrows exits against the-ones
ἐνοχλοῦντας ἐνθένδε λελεῖφθαι.
troubling thence to-be-left

16 ὕπερθεν δὲ αὐτῶν ὕψος τῷ περιβόλῳ ἐπετεχνήσατο ἐς
above and them height to-the circuit-wall he-contrived to
τριάκοντα μάλιστα πόδας, οὐχ ὅλον ἐνθέμενος τὸ πάχος
thirty about feet not whole having-put-in the thickness
τῷ τείχει, ὡς μὴ τῶν θεμελίων τῇ τῶν ἐγκειμένων
to-the wall so-that not the foundations by-the of-the lying-on(-masonry)
περιουσίᾳ βαρυνομένων ἀνήκεστόν τι τῷ ἔργῳ ξυμβαίη,
excess being-weighed-down irreparable anything to-the work happen
ἀλλὰ τὸν ἐκείνῃ ἀέρα λίθων περιβολῇ περιελίξας, στοάν
but the there air of-stones with-a-casing having-enclosed a-gallery
τε ἐν κύκλῳ τοῦ περιβόλου περίδρομον ἐργασάμενος, ὑπέρ
both in a-circle of-the circuit-wall running-round having-made over
τε τὴν στοὰν τὰς ἐπάλξεις ἐπιβαλών, ὥστε διώροφον
both the gallery the battlements having-put so-that two-storied
μὲν πανταχόσε τὸ τεῖχος εἶναι, κατὰ δὲ τοὺς πύργους
indeed everywhere the wall to-be at and the towers

καὶ τρεῖς γεγονέναι χώρας τῶν τε ἀμυνομένων τοῦ
even three to-have-become places of-the both defending the
περιβόλου καὶ τὰς ἐπ᾽ αὐτὸν ἀποκρουομένων ἐφόδους.
circuit-wall and the against it repelling attacks
κατὰ μέσους γάρ πη τοὺς πύργους σφαιρικὸν σχῆμα 17
at middle for somewhere the towers a-spherical shape
ἐνθέμενος αὖθις ἐνταῦθα ἐντέθεικεν ἐπάλξεις ἑτέρας,
having-put-in again there he-has-put battlements other
τριώροφον ταύτῃ τὸ τεῖχος ἀπεργασάμενος.
three-storied thus the wall having-made
Ἔπειτα δὲ κατανενοηκὼς ὅτι δὴ καὶ τῶν πύργων 18
then and having-perceived that indeed also of-the towers
διεφθάρθαι πολλούς, ᾗπέρ μοι εἴρηται, ξυνηνέχθη ἐν
to-have-been-destroyed many as by-me has-been-said it-happened in
χρόνῳ ὀλίγῳ, καθελεῖν μὲν αὐτοὺς ὡς ἥκιστα εἶχεν, ἐν
time little to-pull-down indeed them as least he-could in
γειτόνων ἀεὶ τῶν πολεμίων ὄντων καὶ καιροφυλακούντων
neighborhood always the enemies being and watching-for-their-chance
τε καὶ διηνεκὲς ἰχνευόντων εἴ ποτε τοῦ περιβόλου μοίρας
both and continually tracking if ever of-the circuit-wall part
ἀτειχίστου τινὸς ἐπιτυχεῖν οἷοί τε ὦσιν· ἐπενόει δὲ
unwalled any to-hit-upon able — they-might-be he-devised and
τάδε.
these(-things)
τούτους μὲν τοὺς πύργους αὐτοῦ εἴασεν, ἔκτοσθεν δὲ 19
these indeed the towers there he-let-be outside and
αὐτῶν ἑκάστου οἰκοδομίαν τινὰ ἑτέραν ἐμπείρως ἐν
of-them each building some other skillfully in
τετραγώνῳ ἐδείματο, ἀσφαλείας τε καὶ τῆς ἄλλης
a-square he-built of-security both and of-the other

ἐπιμελείας εὖ ἔχουσαν, ταύτῃ τε τοὺς πεπονηκότας τῶν
care well having thus and the having-suffered of-the
τοίχων ἐρύματι ἑτέρῳ ἐς τὸ ἀσφαλὲς ἐτειχίσατο.
walls with-a-fortification other into the safety he-walled

20 ἕνα δὲ αὐτῶν τὸν καλούμενον τῆς φρουρᾶς ἐπικαιριώτατα
one and of-them the-one called of-the guard most-opportunely
καθελὼν ἀνῳκοδομήσατο ξὺν τῷ ἀσφαλεῖ καὶ πανταχόθεν
having-pulled-down he-rebuilt with the safety and from-all-sides
τοῦ περιβόλου τὸ ἐκ τῆς ἀσθενείας ἀφείλετο δέος.
of-the circuit-wall the from the weakness he-took-away fear

21 καὶ τῷ προτειχίσματι δὲ κατὰ λόγον διαρκὲς ὕψος
and to-the outer-wall too according-to reason sufficient height
ἐπισταμένως ἐντέθεικεν.
skillfully he-has-put

22 ἔκτοσθεν δὲ αὐτοῦ τάφρον ὤρυξεν, οὐχ ᾗπερ εἰώθασιν
outside and of-it a-ditch he-dug not as are-wont
ἄνθρωποι τὰ τοιαῦτα ποιεῖν, ἀλλ' ἐν χώρῳ τε ὀλίγῳ
men the such(-things) to-do but in place both little
καὶ τρόπῳ ἑτέρῳ· ὅτου δὲ δὴ ἕνεκα, ἐγὼ δηλώσω.
and manner other for-what and indeed reason I will-show

23 Τὰ μὲν ἄλλα τοῦ περιβόλου ἀπρόσβατα τοῖς
the indeed other(-parts) of-the circuit-wall inaccessible to-the
τειχομαχοῦσιν ἐκ τοῦ ἐπιπλεῖστον ξυμβαίνει εἶναι ἅτε
wall-assailants for the most-part it-happens to-be inasmuch-as
οὐκ ἐφ' ὁμαλοῦ χωρίου ἑστῶτα, οὐδὲ τοῖς ἐπιοῦσιν
not on level ground standing nor for-the-ones attacking
ἔχοντος πρὸς ἐπιβουλὴν ἐπιτηδείως, ἀλλὰ κατὰ τὸ ἄναντες
holding for attack suitably but on the steep
ἔν τε σκληρῷ καὶ ὀρθίῳ κειμένου, ἔνθα οὔτε διώρυχα
in both hard and upright lying where neither a-tunnel
οἷόν τέ ἐστιν οὔτε προσβολὴν γενέσθαι τινά.
possible — it-is nor assault to-happen any

ᾗ δὲ αὐτοῦ πρὸς ἄνεμον νότον ἡ πλευρὰ τέτραπται, 24
where and of-it toward wind south the side is-turned
μαλθακή τε οὖσα καὶ γεώδης ἡ χώρα καὶ πρὸς διώρυχας
soft both being and earthy the ground and for tunnels
εὔκολος ἄγαν, εὐέφοδον ταύτῃ ποιεῖ τὴν πόλιν.
easy very easy-of-approach thus makes the city
τάφρον οὖν ἐνταῦθα μηνοειδῆ, εὖρους τε καὶ βάθους ἱκανῶς 25
a-ditch then there crescent-shaped of-breadth both and of-depth sufficiently
ἔχουσαν ἐπὶ μακρῷ κατορύξας, ἑκάτερον αὐτῆς τῷ
having for a-long(-way) having-dug each its to-the
προτειχίσματι τὸ πέρας ἐνῆψεν, ὕδατος μὲν αὐτὴν διαρκῶς
outer-wall the end he-joined with-water indeed it sufficiently
ἐμπλησάμενος, ἄβατόν τε παντάπασι τοῖς πολεμίοις
having-filled impassable both altogether for-the enemies
καταστησάμενος, ἐν μοίρᾳ δὲ αὐτῆς τῇ ἐντὸς προτείχισμα
having-made in part and its the inner an-outer-wall
θέμενος ἕτερον· ᾧ δὴ ἐφεστῶτες ἐν πολιορκίᾳ
having-set other on-which indeed standing in siege
φρουροῦσι Ῥωμαῖοι, τοῦ τε περιβόλου καὶ προτειχίσματος
guard Romans the both circuit-wall and outer-wall
τοῦ ἑτέρου ἀφροντιστήσαντες, ὅπερ τοῦ τείχους προβέβληται.
the other not-concerned-for which the wall is-set-before
ἐτύγχανε δὲ τοῦ τε τείχους καὶ τοῦ προτειχίσματος 26
there-happened-to-be and the both wall and the outer-wall
μεταξὺ κατὰ τὰς πύλας, αἳ καταντικρὺ τοῦ Ἀμμώδιος
between at the gates which opposite the Ammodius
χωρίου εἰσί, μέγα τι χρῆμα χώματος κείμενον, καὶ ἀπ᾽
place are great some mass of-earth lying and from
αὐτοῦ οἱ πολέμιοι λανθάνειν ἐκ τοῦ ἐπιπλεῖστον οἷοί τε ἦσαν,
it the enemies to-escape-notice for the most-part able — were
ἐπὶ τῇ πόλει διώρυχας ἔνερθεν τοῦ περιβόλου ποιούμενοι.
against the city tunnels beneath the circuit-wall making

27 ὅπερ ἐνθένδε περιελὼν καὶ περικαθήρας εὖ μάλα τὸν
which thence having-removed and having-cleared-around well very the
χῶρον, ταύτῃ τοῖς πολεμίοις τὴν ἐς τὸ τεῖχος ἐπιβουλὴν
place thus for-the enemies the against the wall plot
ἀνεχαίτισε.
he-checked

II · THE RIVER OF DARAS

Justinian made cisterns at Daras between the wall and the outer wall and near the church of the apostle Bartholomew. A river runs from a suburb two miles off called Cordes, between two crags, enters the city through a channel barred with iron and leaves it by an outlet, so that besiegers once had water in plenty. God answered the emperor's perplexity: someone, by a dream or of his own accord, had the builders dig a deep round shaft inside the wall, and when rains swelled the river until it broke the outer wall and gates and swept through the city, its rubbish vanished into the shaft and came up near the borders of Theodosiopolis, about forty miles from Daras. Since then, in a siege, the outlets are stopped and the river is turned into the chasm, so that thirst drove off Mirranes under Cavades and later Chosroes himself.

1 Τὰ μὲν οὖν τοῦ ὀχυρώματος αὐτῷ τῇδέ πη πεποίηται.
the indeed then of-the stronghold by-him thus somewhere has-been-done
καὶ ὕδατος δὲ εἰργάσατο ἔλυτρα πὴ μὲν τοῦ
and of-water too he-made reservoirs in-one-place indeed the
περιβόλου καὶ τοῦ προτειχίσματος μεταξύ, πὴ δὲ
circuit-wall and the outer-wall between in-another and
ἄγχιστα τοῦ νεώ, ὃς Βαρθολομαίῳ ἀποστόλῳ ἀνεῖται
nearest the church which to-Bartholomew apostle is-dedicated
πρὸς δύοντά που τὸν ἥλιον.
toward setting somewhere the sun

ῥεῖ δὲ καὶ ποταμὸς ἐκ προαστείου τῆς πόλεως διέχοντος 2
flows and also a-river from a-suburb of-the city distant
αὐτῆς σημείοιν δυοῖν, ὃ δὴ Κόρδης ἐπικαλεῖται.
from-it miles two which indeed Cordes is-called
ἐφ᾽ ἑκάτερα δὲ αὐτοῦ σκοπέλω δύο ἀνέχετον ὑπεράγαν 3
on each-side and of-it crags two rise exceedingly
σκληρώ. πρόεισι δὲ μεταξὺ τῆς ἑκατέρου ὑπωρείας ἄχρι
hard goes-forward and between the of-each foothill as-far
ἐς τὴν πόλιν ὁ ποταμὸς οὗτος, παρὰ τοὺς πρόποδας
as the city the river this along the feet
φερόμενος τῶν ὀρῶν, μάλιστά τε καὶ δι᾽ αὐτὸ τοῖς
carried of-the mountains most both and because-of this for-the
πολεμίοις ἄτρεπτός τε καὶ ἀνέπαφος ὤν.
enemies unturnable both and untouchable being
οὐ γὰρ ἔχουσι βιάζεσθαί πως αὐτὸν ἐν ὑπτίῳ τῆς 4
not for they-are-able to-force somehow it in level of-the
γῆς. ἐπισπῶνται δὲ αὐτὸν ἐς τὴν πόλιν τρόπῳ τοιῷδε.
land they-draw and it into the city in-manner such
ὀχετὸν μὲν ἐκ τοῦ περιβόλου πεποίηνται μέγαν, ὀβελοῖς 5
a-channel indeed from the circuit-wall they-have-made great with-bars
δὲ σιδηροῖς τὸ τοῦ ὀχετοῦ στόμα συχνοῖς τε καὶ ὡς
and of-iron the of-the channel mouth numerous both and as
παχυτάτοις καταλαβόντες, τοῖς μὲν ὀρθοῖς, τοῖς δὲ
thickest having-closed the-ones indeed upright the-ones and
ἐγκαρσίοις, διεπράξαντο τῷ ὕδατι ἐς τὴν πόλιν ἐσιτητὰ
crosswise they-contrived for-the water into the city enterable
εἶναι, οὐκ ἐπὶ πονηρῷ τοῦ ὀχυρώματος.
to-be not to hurt of-the stronghold
οὕτω τοίνυν εἰς τὴν πόλιν εἰσιὼν καὶ τὰ ἐκείνῃ ἔλυτρα 6
thus therefore into the city entering and the there reservoirs
ἐμπλησάμενος, περιαγόμενός τε ὅποι ποτὲ δοκοίη
having-filled being-led-around both wherever ever it-seemed(-good)

τοῖς τῇδε ἀνθρώποις, εἶτα ἐκβάλλει ἐς ἑτέραν τινὰ
to-the there men then it-issues into other some
τῆς πόλεως χώραν, ἐμφεροῦς αὐτῷ τῇ ἐς τὴν πόλιν
of-the city place similar to-it to-the into the city
εἰσαγωγῇ πεποιημένης τῆς ἐκβολῆς.
introduction having-been-made the outlet

7 περιών τε τὰ ταύτῃ πεδία ἐς πολιορκίαν εὐπετῆ ἐποιεῖτο
going-around both the there plains for siege easy it-made
τὴν πόλιν. ἐνταῦθα γὰρ ἐνστρατοπεδεύεσθαι τοῖς πολεμίοις
the city there for to-encamp for-the enemies
τῇ τοῦ ὕδατος περιουσίᾳ οὐ χαλεπὸν ἦν.
by-the of-the water abundance not hard it-was

8 ὅπερ ἵνα μὴ γένηται λογισάμενος Ἰουστινιανὸς βασιλεὺς
which that not it-happen having-reckoned Justinian emperor
τὰ παρόντα ἐν βουλῇ ἐποιεῖτο, διασκοπούμενος εἴ
the present(-things) in counsel made considering whether
τινα τῷ πράγματι ἄκεσιν εὕροι.
some for-the matter remedy he-might-find

9 ὁ δὲ θεὸς αὐτῷ τὴν ἀμηχανίαν ἰώμενος, ἀπαυτοματίσας
— and God for-him the helplessness healing having-done-of-itself
τὴν πρᾶξιν μελλήσει οὐδεμιᾷ τὴν πόλιν διεσώσατο. ἐγένετο
the deed with-delay no the city saved it-happened
δὲ δὴ ὧδε.
and indeed thus

10 Τῶν τις ἐκείνῃ στρατευσαμένων, εἴτε τινὰ ὄψιν ὀνείρου
of-the-ones some there having-served whether some vision of-a-dream
ἰδὼν εἴτε αὐτόματος εἰς τοῦτο ἠγμένος, τῶν περὶ
having-seen or of-his-own-accord to this led of-the-ones about
τὰς οἰκοδομίας τεχνιτῶν ἑταιρισάμενος πολὺν ὅμιλον,
the buildings craftsmen having-associated a-great throng
διώρυχα ἐκέλευε μακρὰν ἐντὸς τοῦ περιβόλου γεγενῆσθαι,
a-tunnel ordered long within the circuit-wall to-be-made

δείξας τι χωρίον αὐτοῖς· ὕδωρ γάρ τι πότιμον
having-shown some place to-them water for some drinkable
ἐνταῦθα εὑρήσειν ἐκ μυχῶν ἀποβλύζον τῆς γῆς.
there they-would-find from recesses gushing-out of-the earth
κυκλοτερῆ τε τὴν διώρυχα ἐς ποδῶν μῆκος ιε΄ 11
circular both the tunnel to of-feet length fifteen
ποιησάμενος ἐπιπλεῖστον τὸ βάθος κατῆγε.
having-made very-far the depth he-carried-down
τοῦτο τῇ πόλει σωτήριον οὐκ ἐκ προνοίας τῶν τεχνιτῶν 12
this for-the city saving not from forethought of-the craftsmen
τούτων πεποίηται, ἀλλ᾽ ὅπερ ἐνταῦθα ξυμβήσεσθαι κακὸν
these was-done but what there would-befall evil
ἔμελλεν, ἐς πᾶν ξυμφέρον διὰ τῆς κατώρυχος ἀπεκρίθη
was-about to all advantage through the pit turned-out
Ῥωμαίοις.
for-Romans
ὄμβρων γὰρ μεταξὺ ἐξαισίων καταρραγέντων, ὁ 13
rains for in-the-meantime extraordinary having-burst-forth the
ποταμός, οὗπερ ἐπεμνήσθην ἀρτίως, πρὸ τοῦ περιβόλου
river which I-mentioned just-now before the circuit-wall
μορμύρων ἀρθείς τε ἐπὶ μέγα οὐκέτι ἐχώρει, οὐ
roaring raised both to a-great(-height) no-longer went-on not
δεχομένων αὐτὸν τηλικόνδε γεγενημένου οὔτε τῶν εἰσόδων
receiving it so-great having-become neither the entrances
οὔτε τοῦ ὀχετοῦ, ἥπερ τὰ πρότερα.
nor the channel as the formerly
ξυνίστατο οὖν ἐπὶ τὸ τεῖχος ξυνάγων τὸν ῥοῦν, ἐς ὕψος 14
it-gathered then against the wall gathering the stream to height
τε καὶ βάθος κατατείνων πολύ, καὶ πὴ μὲν λιμνάζων,
both and depth extending much and in-one-place indeed forming-a-lake
πὴ δὲ κυρτούμενός τε καὶ κυματίας γεγενημένος.
in-another and arching both and billowing having-become

15 τὸ μὲν οὖν προτείχισμα βιασάμενος καθεῖλεν εὐθύς,
the indeed then outer-wall having-forced it-pulled-down at-once
κατασείσας δὲ καὶ πολλήν τινα τοῦ τείχους μοῖραν καὶ
having-shaken and also great a-certain of-the wall part and
τὰς πύλας ἀναπετάσας πολύς τε ῥεύσας τὴν πόλιν
the gates having-thrown-open great both having-flowed the city
καταλαμβάνει σχεδόν τι ὅλην, καὶ αὐτῆς τήν τε ἀγορὰν
seizes almost — whole and of-it the both market
καὶ τοὺς στενωποὺς καὶ οὐδέν τι ἧσσον τὰς οἰκίας
and the alleys and nothing at-all less the houses
περιπολήσας, ἐπίπλων τε ἐνθένδε καὶ ξυλίνων τευχῶν καὶ
having-gone-around of-furniture both thence and of-wooden vessels and
ἄλλων τοιούτων φορυτὸν μέγαν ἐπαγόμενος, ἐς ταύτην
other such(-things) a-heap great bringing-along into this
τε τὴν διώρυχα ἐμπεσὼν ἀφανίζεται ὑπόγειος γεγενημένος.
both the tunnel having-fallen it-disappears underground having-become
16 ἡμέραις δὲ οὐ πολλαῖς ὕστερον ἄγχιστά πη τῶν
in-days and not many later nearest somewhere the
Θεοδοσιουπόλεως ὁρίων ἐκδούς, ἐν χώρῳ ἐφάνη
of-Theodosiopolis borders having-issued in a-place it-appeared
σημείοις τεσσαράκοντα διέχοντι μάλιστα Δάρας πόλεως,
miles forty distant about from-Daras city
οἷσπερ ἐπηγάγετο ἐκ τῶν τῇδε οἰκίων γνωσθείς.
by-the-things-which it-brought from the there houses recognized
διεφάνη γὰρ ἐνταῦθα ὁ συρφετὸς ὅλος.
was-seen for there the sweepings whole
17 καὶ τὸ λοιπὸν ἐν μὲν εἰρήνῃ καὶ ἀγαθοῖς πράγμασιν
and for-the rest in indeed peace and good affairs
ἐν μέσῃ πόλει γινόμενος ὁ ποταμὸς οὗτος, περιπλέους
in middle-of city becoming the river this full
τε τοῦ ὕδατος τοὺς θησαυροὺς ἐργασάμενος, φέρεται
both of-the water the cisterns having-made is-carried

μὲν τῆς πόλεως ἔξω διὰ τῶν ἐξόδων αἵπερ αὐτῷ
indeed of-the city outside through the outlets which for-it
πεποίηνται ἐξεπίτηδες πρὸς τῶν δειμαμένων τὴν πόλιν,
have-been-made on-purpose by the-ones having-built the city
ὥσπερ μοι ἔναγχος δεδιήγηται.
as by-me just-now has-been-related
ἀρδεύων δὲ τὰ ἐκείνῃ χωρία ποθεινὸς ἅπασι τοῖς 18
watering and the there lands longed-for by-all the-ones
περιοικοῦσιν ἐς ἀεὶ γίνεται. ἐπειδὰν δὲ πολεμίων στρατὸς
dwelling-around for ever it-becomes when and of-enemies an-army
ὡς πολιορκήσων τὴν πόλιν ἐνταῦθα ἴοι, τὰς μὲν διὰ τῶν
as to-besiege the city there come the indeed through the
σιδηρῶν ὀβελῶν ἐξόδους ἐπιβύσαντες τοῖς καταράκταις
iron bars outlets having-stopped-up with-the portcullises
καλουμένοις, αὐτίκα τε τὸν ποταμὸν μεταπεφυκέναι καὶ τὴν
so-called immediately both the river to-have-changed and the
ἐκβολὴν μεταπορεύεσθαι βιασάμενοι ἀνάγκῃ χειροποιήτῳ,
outlet to-go-elsewhere having-forced with-necessity handmade
ἐπί τε τὴν διώρυχα καὶ τὸ ἐνθένδε περιάγουσι χάος.
into both the tunnel and the thence they-lead-around chasm
καὶ ἀπ᾽ αὐτοῦ οἱ πολέμιοι πιεζόμενοι τοῦ ὕδατος τῇ 19
and from it the enemies pressed of-the water by-the
ἀπορίᾳ διαλύειν ἀναγκάζονται τὴν πολιορκίαν εὐθύς.
lack to-break-up are-compelled the siege at-once
Μιρράνης ἀμέλει ὁ Περσῶν στρατηγὸς ἐπὶ Καβάδου
Mirranes of-course the of-Persians general under Cavades
βασιλεύοντος ἐπὶ πολιορκίᾳ ἐνταῦθα ἥκων, τούτοις τε
reigning for siege there having-come by-these both
πᾶσιν ἀναγκασθείς, ἄπρακτος οὐκ εἰς μακρὰν ἀνεχώρησε.
all compelled unsuccessful not after long withdrew

20 καὶ Χοσρόης αὐτὸς πολλῷ ὕστερον ἐπ᾽ αὐτῷ τούτῳ
and Chosroes himself much later for it this
ἀφικόμενος στρατῷ μεγάλῳ ἐγκεχείρηκε τῇ ἐς τὴν
having-arrived with-an-army great has-attempted the against the
πόλιν ἐπιβουλῇ.
city plot

21 ὕδατός τε ἀπορίας πέρι ἀμηχανῶν, καὶ ἀποσκοπούμενος
of-water both lack about being-at-a-loss and observing
τὴν τοῦ περιβόλου ὑπερβολήν, ἄμαχόν τε αὐτὴν διαρκῶς
the of-the circuit-wall height unassailable both it sufficiently
ὑποπτεύων εἶναι, καὶ τὰ βεβουλευμένα μεταγνούς,
suspecting to-be and the-things planned having-repented
εὐθύωρος ἐς τὰ Περσῶν ἤθη ἀπιὼν ᾤχετο, τῇ τοῦ
straight into the of-Persians abodes departing went-off by-the of-the
Ῥωμαίων αὐτοκράτορος καταστρατηγηθεὶς προμηθείᾳ.
of-Romans autocrat outgeneraled forethought

III · THE DAM OF DARAS

When the flood struck Daras, the engineer Chryses of Alexandria saw in a dream a device to restrain the river and sent the emperor a sketch of it. Justinian, consulting Anthemius and Isidorus, had already devised the same plan of his own judgment before the letter came, and when it arrived the engineers marveled that God worked with him. Chryses built a curved barrier between the two crags about forty feet from the outer wall, its curve against the current and pierced above and below so that a flood gathers and drains away slowly into the aqueduct; the gates the river had burst were walled up and new ones set high on the steep. Justinian also built a channel to carry water through all of Daras, two churches, and barracks for the soldiers, and renewed the wall and outer wall of Amida.

Ταῦτα μὲν οὖν ἐν πόλει Δάρας οὕτω δὴ Ἰουστινιανὸς 1
these(-things) indeed then in city Daras thus indeed Justinian
βασιλεὺς κατεστήσατο· ὅντινα δὲ προσεποίησε τρόπον τῇ
emperor established in-what and he-contrived manner for-the
πόλει μηκέτι αὐτῇ πάθος πρὸς τοῦ ποταμοῦ ξυμβαίνειν
city no-longer to-it suffering from the river to-happen
τοιοῦτον, τοῦ θεοῦ διαρρήδην αὐτῷ ξυνεπιλαμβανομένου
such — God expressly him helping
τὸ σπούδασμα τοῦτο, ἐγὼ δηλώσω.
the zeal this I will-show
Χρύσης ἦν τις Ἀλεξανδρεύς, μηχανοποιὸς δεξιός, 2
Chryses there-was a-certain Alexandrian engineer skillful
ὅσπερ βασιλεῖ τὰ ἐς τὰς οἰκοδομίας ὑπηρετῶν, τὰ
who for-emperor the-things for the buildings serving the
πλεῖστα τῶν τε ἐν πόλει Δάρας καὶ τῇ ἄλλῃ χώρᾳ
most of-the-things both in city Daras and the other land
γεγονότα ἐξείργασται.
having-been-made has-accomplished
οὗτος ὁ Χρύσης ἀπεδήμει μὲν ἡνίκα δὴ ἐν τῇ πόλει 3
this — Chryses was-away indeed when indeed in the city
Δάρας τὸ ἐκ τοῦ ποταμοῦ πάθος ξυνέπεσεν· ἀκηκοὼς
Daras the from the river suffering befell having-heard
δὲ καὶ περιαλγήσας τῇ συμφορᾷ ἐς κοίτην τὴν αὐτοῦ
but and having-grieved-greatly at-the disaster to bed the his-own
ἀπεχώρησεν. ὄψιν δὲ ὀνείρου τοιάνδε εἶδεν.
he-retired a-vision and of-a-dream such he-saw
ἐδόκει οἱ ἐν τῷ ὀνείρῳ τις ὑπερφυής τε καὶ τὰ ἄκρα 4
it-seemed to-him in the dream someone extraordinary both and the extremes
κρείσσων ἢ ἀνθρώπῳ εἰκάζεσθαι μηχανήν τινα ἐπαγγέλλειν
greater than to-a-man to-be-likened device some to-announce

τε καὶ ἐνδείκνυσθαι, ἢ ἂν διακωλύειν τὸν ποταμὸν
both and to-point-out which — to-prevent the river
ἱκανὴ εἴη ἐπὶ πονηρῷ τῆς πόλεως μηκέτι μορμύρειν.
able would-be to hurt of-the city no-longer to-roar
5 καὶ ὁ μὲν αὐτίκα θεῖον ὑποτοπήσας τὸ πρᾶγμα εἶναι, τήν
and he indeed at-once divine having-suspected the matter to-be the
τε μηχανὴν καὶ τὴν τοῦ ὀνείρου ὄψιν ἐς βασιλέα γράψας
both device and the of-the dream vision to emperor having-written
ἀνήνεγκε, σκιαγραφήσας τὴν ἐκ τοῦ ὀνείρου διδασκαλίαν.
reported having-sketched the from the dream instruction
6 ἐτύγχανε δὲ οὐ πολλῷ πρότερον ἄγγελος ἐς βασιλέα
there-happened and not much earlier a-messenger to emperor
ἥκων ἐκ Δάρας πόλεως, ὅσπερ αὐτῷ τὰ ἐκ τοῦ
having-come from Daras city who to-him the-things from the
ποταμοῦ ξυνενεχθέντα πάντα ἐσήγγειλε.
river having-befallen all announced
7 βασιλεὺς δὲ τότε τοῖς ξυμπεπτωκόσι ξυνταραχθεὶς καὶ
emperor and then by-the-things having-happened confounded and
περιώδυνος γεγονώς, τοὺς τὰ μηχανικὰ εὐδοκιμοῦντας
very-pained having-become the-men in-the mechanical(-arts) of-good-repute
εὐθὺς μετεκάλει, Ἀνθέμιόν τε καὶ Ἰσίδωρον, ὥνπερ
at-once summoned Anthemius both and Isidorus whom
ἔμπροσθεν ἐπεμνήσθην.
before I-mentioned
8 καὶ τὰ ξυμβεβηκότα ἐπικοινούμενος ἀνεπυνθάνετο τῶν
and the-things having-happened communicating he-inquired-of the
ἀνδρῶν ὁποία ποτὲ μηχανὴ γένοιτο, ὡς μή τι
men what-sort ever device might-be-made so-that not anything
περαιτέρω τῇ πόλει ξυμβαίη; καὶ αὐτῶν μὲν ἑκάτερος
further to-the city happen and of-them indeed each
ὑποθήκην τινὰ ἔφραζε τήν οἱ δοκοῦσαν ἐπιτηδείως ἐς
suggestion some declared the-one to-him seeming suitably for

τοῦτο ἔχειν· βασιλεὺς δέ, θείας δηλονότι ἐπινοίας αὐτῷ
this to-be emperor but divine clearly idea to-him
γενομένης τινός, οὔπω τὰ Χρύσου ἰδὼν γράμματα,
having-come some not-yet the of-Chryses having-seen letters
ἐπενόει τε καὶ ἐσκιαγράφει αὐτογνωμονήσας ἐκ τοῦ
devised both and sketched of-his-own-judgment from the
παραδόξου ὃ δὴ τοῦ ὀνείρου ἐκτύπωμα ἦν.
unexpected which indeed of-the dream copy was
ἔτι δὲ τῆς βουλῆς ᾠωρημένης καὶ τοῦ πρακτέου σφίσιν 9
still and the counsel suspended and the to-be-done for-them
ἐν ἀδήλῳ ὄντος, διέλυσαν τὸν διάλογον.
in uncertainty being they-broke-up the conference
ἡμέραις δὲ γ′ ὕστερον ἦκέ τις βασιλεῖ τήν τε τοῦ 10
in-days and three later came someone to-emperor the both —
Χρύσου ἐπιστολὴν καὶ τῆς τοῦ ὀνείρου μηχανῆς τὸ
Chryses letter and of-the of-the dream device the
ἐκμαγεῖον ἐνδεικνύμενος.
model showing
καὶ ὃς μεταπεμψάμενος τοὺς μηχανικοὺς αὖθις ἀνανεοῦσθαι 11
and he having-summoned the engineers again to-renew
τῇ μνήμῃ ἐκέλευεν ὅσα δὴ σφίσιν ἀμφὶ τῷ ἔργῳ
in-the memory ordered what-things indeed to-them about the work
τὸ πρότερον δοκοῦντα εἴη.
the earlier seeming(-good) might-be
οἱ δὲ ἀπεστομάτιζον ἐφεξῆς ἅπαντα, ὅσα τε αὐτοὶ 12
they and recited in-order all what-things both they-themselves
τεχνάζοντες εἶπον καὶ ὅσα βασιλεὺς ἀπαυθαδιασάμενος
devising said and what-things emperor of-his-own-accord
ἐπήγγειλε γενέσθαι.
announced to-happen

13 καὶ τότε δὴ ὁ βασιλεὺς τόν τε πρὸς τοῦ Χρύσου
and then indeed the emperor the both from — Chryses
σταλέντα καὶ τὰ γράμματα ἐπιδείξας, ἔτι δὲ καὶ τὴν
sent and the letter having-shown still and also the
ἐκ τοῦ ὀνείρου γεγονυῖαν ἐπὶ τῷ ἐσομένῳ ὄψιν τε καὶ
from the dream having-come for the future(-thing) vision both and
σκιαγραφίαν, κατεστήσατο αὐτοὺς ἐν θαύματι μεγάλῳ,
sketch he-set them in wonder great
ἐν νῷ ποιουμένους ὡς ἅπαντα ὁ θεὸς συνδιαπράσσεται
in mind making that all(-things) — God accomplishes-together
τῷ βασιλεῖ τούτῳ τὰ τῇ βασιλείᾳ ξυνοίσοντα.
with-the emperor this the-things for-the empire about-to-benefit
14 ἐκράτει τοίνυν ἡ τοῦ βασιλέως ἐπίδειξις, ὑποχωρούσης
prevailed therefore the of-the emperor demonstration giving-way
μηχανοποιῶν σοφίας καὶ τέχνης.
of-engineers wisdom and art
15 καὶ γίνεται ὁ Χρύσης αὖθις ἐν πόλει Δάρας, ἐπιτεταγμένον
and comes — Chryses again into city Daras having-been-ordered
οἱ πρὸς τοῦ βασιλέως ὑποτελέσαι τὰ γεγραμμένα
him by the emperor to-carry-out the-things written
σπουδῇ τῇ πάσῃ, καθάπερ ἡ τοῦ ὀνείρου ὑποθήκη
with-zeal the all as the of-the dream suggestion
ἐπήγγελλεν. ἐποίει τε τὰ ἐπιτεταγμένα τρόπῳ τοιῷδε.
announced he-did both the-things ordered in-manner such
16 Ἐν χώρῳ διέχοντι τοῦ τῆς πόλεως προτειχίσματος ἐς
in a-place distant from-the of-the city outer-wall about
μ΄ μάλιστα πόδας, μεταξὺ σκοπέλου ἑκατέρου, ὧν δὴ
forty about feet between crag each of-which indeed
κατὰ μέσον ὁ ποταμὸς προϊὼν φέρεται, ἀντιτείχισμα
through middle the river going-forward is-carried a-counter-wall
ἐτεκτήνατο ὕψους τε καὶ εὔρους ἱκανῶς ἔχον.
he-built of-height both and of-breadth sufficiently having

οὗπερ τὰ πέρατα οὕτω δὴ ὄρει ἑκατέρῳ πανταχόθεν 17
whose the ends so indeed to-mountain each on-all-sides
ἐνῆψεν, ὡς τῷ ὕδατι τοῦ ποταμοῦ, ἢν καὶ σφοδρότατα
he-joined that for-the water of-the river if even most-violently
ἐπιρρεύσειεν, ἐνταῦθα ἐσιτητὰ μηδαμῇ ἔσεσθαι.
it-should-flow-against there passable in-no-way it-would-be
τοῦτο δὲ τὸ ἔργον οἱ περὶ ταῦτα σοφοὶ φράκτην ἢ 18
this and the work the-men about these(-things) skilled dam or
ἀρίδα καλοῦσιν, ἢ ὅ τί ποτε ἄλλο ἐθέλουσιν.
barrier call or whatever — ever else they-wish
οὐκ ἐπ᾽ εὐθείας δὲ τὸ ἀντιτείχισμα πεποίηται τοῦτο, 19
not in a-straight(-line) and the counter-wall has-been-made this
ἀλλ᾽ ἐπὶ τὸ μηνοειδὲς τετραμμένον, ὅπως ἂν τὸ κύρτωμα
but to the crescent-shaped turned that — the curve
πρὸς τῇ τοῦ ποταμοῦ ἐπιρροῇ κείμενον ἔτι μᾶλλον
against the of-the river onflow lying still more
ἀντέχειν τῷ ῥείθρῳ βιαζομένῳ δυνατὸν εἴη.
to-withstand the stream forcing able it-might-be
θυρίδας δὲ ἐς τὸ ἀντιτείχισμα ἔς τε τὰ κάτω καὶ ἄνω 20
openings and in the counter-wall in both the-parts below and above
πεποίηται. ὥστε τῷ ποταμῷ πλημμυροῦντι ἐξαπιναίως,
have-been-made so-that for-the river flooding suddenly
ἂν οὕτω τύχοι, ξυνίστασθαι μὲν ἐνταῦθα ἐπάναγκες
— thus it-should-happen to-gather indeed there necessary
εἴη καὶ μὴ παντὶ τῷ ῥοθίῳ περαιτέρω χωρεῖν. ἐκροὴν
it-might-be and not with-all the rush further to-go outflow
δὲ κατὰ τὰς ὀπὰς ἀφιέντι βραχεΐάν τινα τοῦ μὲν
and through the holes letting-go short some of-the indeed
ὑπερβάλλοντος ὄγκου κατὰ μικρὸν ἀπολήγειν ἀεί, τῷ δὲ
excessive mass by little to-subside always the and
τείχει λελυμασμένῳ μηδέποτε εἶναι.
wall harmed never to-be

21 ἡ γὰρ ἐκροὴ ἐν τῷ χώρῳ ξυνισταμένη, ὅσπερ ἐς
the for outflow in the space gathering which to
τεσσαράκοντα διήκων πόδας, ᾗπέρ μοι εἴρηται, τῆς τε
forty extending feet as by-me has-been-said of-the both
ἀρίδος καὶ τοῦ προτειχίσματος μεταξύ ἐστιν, οὐδαμῇ τὸ
barrier and of-the outer-wall between is in-no-way the
παράπαν βιαζομένη, ἀλλ᾽ ἐς τὰς ξυνειθισμένας εἰσόδους
whole forcing but into the accustomed entrances
κατὰ λόγον χωροῦσα ἐς τὴν ὀχεταγωγίαν ἐνθένδε
according-to reason going into the aqueduct thence
εἰσβάλλει.
it-enters

22 καὶ τὰς πύλας, ἅσπερ τὸ πρότερον βιασάμενος ἐξαπιναίως
and the gates which the formerly having-forced suddenly
ὁ ποταμὸς ἀνεπέτασε, περιελὼν ἐντεῦθεν, λίθοις μὲν
the river threw-open having-removed thence with-stones indeed
παμμεγέθεσι τὴν προτέραν αὐτῶν ἐφράξατο χώραν, ἐπεὶ ἐφ᾽
very-great the former their he-blocked place since on
ὁμαλοῦ κείμεναι τῷ ποταμῷ ὑπερβλύζοντι εὐέφοδοι ἦσαν.
level lying for-the river overflowing easy-of-approach they-were

23 ἄγχιστα δέ πη ἐν χώρῳ ἀνάντει κατὰ τὸ κρημνῶδες
nearest and somewhere in a-place steep at the precipitous(-part)
τοῦ περιβόλου αὐτὰς ἔθετο, οὗ δὴ τῷ ποταμῷ βάσιμα
of-the circuit-wall them he-set where indeed for-the river passable
ὡς ἥκιστα ἦν. ταῦτα μὲν οὖν οὕτω διαπεπόνηται
as least it-was these(-things) indeed then thus have-been-worked-out
τῷ βασιλεῖ τούτῳ.
by-the emperor this

24 Ἦν δέ τις ἐν πόλει πολλὴ ὕδατος πέρι ἀμηχανία
there-was and some in city great of-water about helplessness
τοῖς τῇδε ἀνθρώποις. οὐδὲ γὰρ ἀναβλυστάνουσαν εἶχον
for-the there men not-even for gushing-up they-had

ἐνταῦθά πη κρήνην, οὐδὲ ὀχετῷ περιαγομένην ἐς
there somewhere a-spring nor by-a-channel led-around into
τὰς ἀγυιάς, αἳ τῇδέ εἰσιν, οὐδέ τισι θησαυριζομένην
the streets which there are nor in-some stored
ἐκείνῃ ἐλύτροις, ἀλλ' οἷς μὲν ἀγχοτάτω ὁ ποταμὸς
there reservoirs but to-whom indeed nearest the river
κατὰ τὰς ἀμφόδους ἐφέρετο, οἵδε ἀταλαιπώρως ἀρυόμενοι
along the streets was-carried these without-toil drawing
ῥᾷστα ἔπινον, οἷς δὲ ὡς ἀπωτάτω τῆς τοῦ ποταμοῦ
most-easily drank to-whom and as farthest from-the of-the river
ἐκροῆς τὰ οἴκοι ἐτύγχανεν ὄντα, τούτοις δυοῖν τὸ
outflow the homes happened being for-these of-two-things the
ἕτερον ἐπάναγκες ἦν, ἢ τὰ ἔσχατα πονουμένοις πιεῖν,
one necessary was either the utmost toiling to-drink
ἢ δίψει ἐχομένοις ἀπολωλέναι.
or by-thirst held to-have-perished
ἀλλ' ὀχετὸν βασιλεὺς Ἰουστινιανὸς ἐτεκτήνατο μέγαν, 25
but a-channel emperor Justinian built great
ᾧ δὴ τὸ ὕδωρ περιαγαγὼν πανταχόσε τῆς πόλεως
by-which indeed the water having-led-around everywhere of-the city
τὴν ἀπορίαν τοῖς τῇδε ᾠκημένοις διέλυσεν.
the lack for-the-ones there dwelling he-ended
ἀλλὰ καὶ ἱερὰ πεποίηται δύο, τήν τε μεγάλην ἐκκλησίαν 26
but also churches he-has-made two the both great church
καλουμένην καὶ τὸν τοῦ ἀποστόλου Βαρθολομαίου νεών.
called and the of-the apostle Bartholomew church
ἔτι μέντοι καὶ τοῖς στρατιώταις καταλυτήρια ἐδείματο
still however also for-the soldiers lodgings he-built
παμπληθῆ, ὅπως δὴ τοὺς τῇδε ᾠκημένους μηδαμῶς
very-many so-that indeed the-ones there dwelling in-no-way
ἐνοχλοῖεν.
they-might-trouble

27 Καὶ Ἀμίδης δὲ πόλεως τό τε τεῖχος καὶ τὸ προτείχισμα
and of-Amida too city the both wall and the outer-wall
ἐν τοῖς ἄνω γεγενημένα χρόνοις καὶ ἀπ᾽ αὐτοῦ ὕποπτα
in the former having-been-made times and from this suspect
ὄντα ἐξίτηλα γενήσεσθαι, οὐ πολλῷ ὕστερον νέᾳ τινὶ
being faded to-become not much later with-new some
καταλαβὼν οἰκοδομίᾳ τῇ πόλει τὴν ἀσφάλειαν ἀνεσώσατο.
having-seized building for-the city the safety he-restored
28 ὅσα δὲ καὶν τοῖς φρουρίοις αὐτῷ εἴργασται, ἅπερ ἐν
what-things and also-in the forts by-him have-been-worked which in
τοῖς ὁρίοις τούτων δὴ τυγχάνει τῶν πόλεων ὄντα, ἐρῶν
the borders of-these indeed happen of-the cities being to-tell
ἔρχομαι.
I-come

IV · RHABDIOS AND THE FORTS TOWARD AMIDA

Two days' journey from Daras, on the left toward Persia, lies Rhabdios, a Roman place on sheer rocks surrounded by Persian territory, which Procopius learned the Romans had received in exchange for a village of vines near Martyropolis; below it lies the fertile Roman Field, which once paid the Persians fifty pieces of gold a year. Justinian walled the heights of Rhabdios, made two reservoirs and many rock-cut cisterns, and rebuilt in strength the forts on the mountain between Daras and Amida, Kiphas, Sauras, Smargdis, and many more. For the villages below the mountain he built a fort on its summit, called the Fort of the Emperors, and rebuilt the mud-walled forts near Amida, Apadnas and Byrthon among them. At the fort of Baras, whose spring lay outside the wall, he had the ground inside dug until the spring's water appeared within it.

1 Ἐκ Δάρας πόλεως ἰόντι ἐς τὰ Περσῶν ἤθη χώρα τις ἐν
from Daras city going into the of-Persians abodes land certain on
ἀριστερᾷ ἐστιν ἀναμάξευτός τε καὶ ἄφιππος ὅλως,
left is untraversed-by-wagons both and impassable-for-horses wholly

κατατείνουσα μὲν ἐς ἡμέραιν ὁδὸν δυοῖν εὐζώνῳ ἀνδρὶ
extending indeed to of-days journey two for-a-well-girt man
μάλιστα, τελευτῶσα δὲ ἐς χῶρον σιμὸν καὶ ἀπόκρημνον
about ending and in a-place hollow and precipitous
Ῥάβδιον ὄνομα.
Rhabdios by-name

ταύτης δὲ τῆς ἐπὶ τὸ Ῥάβδιον φερούσης ὁδοῦ ἐφ' ἑκάτερα 2
of-this and the to the Rhabdios leading road on each-side
τὰ Περσῶν ὅρια ἐπὶ μακρότατον ξυμβαίνει εἶναι.
the of-Persians borders for longest(-way) it-happens to-be

ὅπερ μοι κατ' ἀρχὰς ἀγαμένῳ καὶ τῶν ἐπιχωρίων 3
which to-me at beginnings wondering and of-the natives
ἀναπυνθανομένῳ ὅντινα τρόπον Ῥωμαίοις προσήκουσα ὁδός
inquiring in-what manner to-Romans belonging a-road
τε καὶ χώρα γῆν ἑκατέρωθι τὴν πολεμίαν διακεκλήρωται,
both and a-land land on-both-sides the enemy's has-been-allotted
ἀπήγγελλόν τινες ὡς εἴη μὲν Περσῶν τὸ χωρίον ποτέ,
reported some that was indeed of-Persians the place once
δεομένῳ δὲ τῶν Περσῶν βασιλεῖ τῶν τις Ῥωμαίων
asking and the of-Persians king of-the one of-Romans
αὐτοκρατόρων ἀμπέλοις τινὰ κατακορῆ κώμην ἐπὶ
autocrats with-vines a-certain abounding village at
Μαρτυροπόλεως οὖσαν δώσειε, τοῦτο δὴ αὐτῆς τὸ
Martyropolis being he-gave(-it) this indeed for-it the
χωρίον ἀνταλλαξάμενος.
place having-received-in-exchange

τὸ μὲν οὖν Ῥάβδιον ἐπὶ πετρῶν οἰκεῖται ἀποτόμων τε 4
the indeed then Rhabdios on rocks is-inhabited sheer both
καὶ ὅλως ἀγρίων, αἵπερ ἐνταῦθα ἐπανεστήκασι θαυμάσιον
and wholly wild which there rise wondrous
ὅσον.
how-much

5 ἔνερθεν δὲ αὐτοῦ χωρίον ἐστίν, ὅπερ καλοῦσι Ῥωμαίων
below and of-it a-place is which they-call of-Romans
ἀγρόν, ἀγασθέντες, οἶμαι, τὸ ἐξ ἀρχῆς, ὅτι δὴ ἐν μέσῳ
field wondering I-think the from beginning that indeed in midst-of
χωρίων Περσικῶν κείμενον Ῥωμαίοις προσήκει.
places Persian lying to-Romans it-belongs

6 οὗτος δὲ ὁ Ῥωμαίων ἀγρὸς κεῖται μὲν τῆς γῆς ἐν
this and the of-Romans field lies indeed of-the land in
ὑπτίῳ, ἀγαθῶν δέ ἐστι τῶν ἐν τοῖς ληίοις κομιδῇ
level of-goods and it-is of-the-ones in the crops altogether
εὔπορος.
abundant

7 τεκμηριώσειε δ' ἄν τις καὶ τοῖσδε, ὅτι δὴ πανταχόθεν
might-judge and — someone also by-these-signs that indeed from-all-sides
τὸν χῶρον περιβάλλουσι τὰ Περσῶν ὅρια.
the place surround the of-Persians borders

8 Πόλισμά ἐστιν ἐν Πέρσαις ἐπιφανὲς ἄγαν, ὄνομα
a-small-town there-is among Persians notable very by-name
Σισαυράνων, ὅπερ ποτὲ Ἰουστινιανὸς βασιλεὺς ἐξελὼν ἐς
Sisauranon which once Justinian emperor having-taken to
ἔδαφος καθεῖλεν, ὅμιλον πολὺν τῶν ἐν Πέρσαις ἱππέων
ground pulled-down a-throng great of-the among Persians horsemen
ξὺν Βλησχάνῃ τῷ σφῶν ἡγεμόνι δορυαλώτους πεποιημένος.
with Bleschanes the their commander prisoners-of-war having-made

9 τῆς πόλεως μὲν Δάρας ὁδὸν ἡμέραιν διέχει δυοῖν
from-the city indeed Daras a-journey of-days is-distant two
εὐζώνῳ ἀνδρί· τούτου δὲ τοῦ Ῥαβδίου σημείοις διέστηκε
for-a-well-girt man from-this and the Rhabdios by-miles it-stands-apart
τρισὶ μάλιστα.
three about

πρότερον μὲν οὖν ἀφύλακτός τε ἦν ὁ χῶρος ὅδε καὶ 10
formerly indeed then unguarded both was the place this and
Ῥωμαίοις παντελῶς ἄσημος. οὐκοῦν οὐδὲ φρουρᾶς οὐδὲ
to-Romans wholly obscure so not-even of-garrison nor
ὀχυρώματος οὐδὲ ἄλλου ὅτου ἂν ἀγαθοῦ πρὸς αὐτῶν
of-stronghold nor of-other any — good from them
ἔλαχε πώποτε.
it-obtained ever
ἀμέλει οἱ τὸν ἀγρὸν γεωργοῦντες, οὗπερ ἐπεμνήσθην 11
of-course the-ones the field farming which I-mentioned
ἀρτίως, ὥσπερ ἄλλο τι ἀγγαροφοροῦντες, πεντήκοντα
just-now as other something carrying-as-forced-service fifty
ἐπετείους χρυσοῦς ἔφερον Πέρσαις, ἐφ' ᾧ ἀδεέστερον
yearly gold(-pieces) brought to-Persians on which more-fearlessly
κεκτήσονται τὰ αὐτῶν ἴδια καὶ καρπῶν δύνωνται
they-might-possess the their own(-things) and of-the-fruits might-be-able
τῶν τῇδε φυομένων ὀνίνασθαι.
the there growing to-enjoy
βασιλεὺς Ἰουστινιανὸς ἅπαντα αὐτοῖς μεταπεφυκέναι 12
emperor Justinian all(-things) for-them to-have-changed
διεσκευάσατο. τειχίσμασι γὰρ τὸ Ῥάβδιον περιβαλὼν
contrived with-walls for the Rhabdios having-surrounded
κατὰ τῶν πετρῶν τὴν ὑπερβολήν, αἵπερ ἐκείνῃ ἀνέχουσιν,
on the rocks the height which there rise
ἀπρόσοδον αὐτὸ τοῖς πολεμίοις πεποίηται τὸ χωρίον,
inaccessible it to-the enemies he-has-made the place
δηλονότι ξυλλαμβανούσης τῆς φύσεως.
clearly helping the nature
ἐπεὶ δὲ ὕδατος οἱ τῇδε ᾠκημένοι ἐσπάνιζον, ἐν τῇ τῶν 13
since and of-water the-ones there dwelling were-in-want on the of-the
σκοπέλων ἀκρωρείᾳ πηγῆς ὡς ἥκιστα οὔσης, ταμεῖά τε
crags summit a-spring as least being reservoirs both

ὑδάτων εἰργάσατο δύο καὶ τὰς ἐκείνῃ πέτρας πολλαχῇ
of-waters he-made two and the there rocks in-many-places
διορύξας παμπληθεῖς ὑδάτων θησαυροὺς διεπράξατο
having-dug-through very-many of-waters stores he-caused
εἶναι, ὅπως δὴ ξυρρεόντων ὑετίων ἐνταῦθα ὑδάτων
to-be so-that indeed flowing-together rain there waters
ἀδεέστερον αὐτοῖς οἱ τῇδε ἄνθρωποι δύνωνται χρῆσθαι, ὡς
more-fearlessly them the there men might-be-able to-use so-that
μὴ τοῦ ὕδατος πιεζόμενοι τῇ ἀπορίᾳ εὐάλωτοι εἶεν.
not by-the water pressed by-the lack easy-to-take they-might-be
14 Καὶ τὰ ἄλλα δὲ φρούρια πάντα ἐν ὄρει κείμενα,
and the other too forts all on mountain lying
ἅπερ ἐνθένδε τε καὶ ἐκ Δάρας πόλεως ἄχρι ἐς Ἄμιδαν
which thence both and from Daras city up to Amida
διήκειν ξυμβαίνει, τό τε Κίφας καὶ Σαυρὰς καὶ Σμάργδις
to-extend it-happens the both Kiphas and Sauras and Smargdis
τε καὶ Λούρνης τό τε Ἱεριφθὸν καὶ Ἀταχὰς καὶ
both and Lournes the both Hieriphthon and Atachas and
Σίφριός τε καὶ Ῥιπάλθας καὶ Βανασυμέων, ἔτι μέντοι
Siphrios both and Rhipalthas and Banasymeon still however
καὶ Σινὰς καὶ Ῥάσιος, καὶ Δαβανάς, καὶ ὅσα ἄλλα
also Sinas and Rhasios and Dabanas and what-things other
ἐνταῦθα ἐκ παλαιοῦ ἐστι, γελοιότατα δῆθεν τῷ σχήματι
there from old are most-ridiculous forsooth in-the shape
ἀποτεθριγκωμένα τὸ πρότερον ἀνοικοδομησάμενος σὺν
walled-around the formerly having-rebuilt with
τῷ ἀσφαλεῖ ἔς τε τὸ νῦν φαινόμενον κάλλος τε καὶ
the security into both the now visible beauty both and
ὀχύρωμα μεταθέμενος ἀνάλωτα εἶναι καὶ προβεβλῆσθαι
strength having-changed(-them) impregnable to-be and to-be-set-before
Ῥωμαίων τῆς γῆς βεβαιότατα κατεστήσατο.
of-Romans the land most-securely he-made

ἐνταῦθα ὄρος οὐρανόμηκες ἀποκεκρέμαται, ἀπόκρημνόν 15
there a-mountain sky-high hangs precipitous
τε καὶ προσελθεῖν ἀμήχανον ὅλως.
both and to-approach impossible wholly
ἐν πεδίῳ δὲ ὑπόκειται χώρα γεώδης τε καὶ μαλθακὴ 16
in plain and lies-below a-land earthy both and soft
λίαν, ἀγαθὴ μὲν ἀρόσαι, θρέμμασι δὲ ἀτεχνῶς ἔννομος.
very good indeed to-plow for-flocks and simply pastoral
ἐπιεικῶς γὰρ τῇ πόᾳ χλοάζει.
fittingly for with-the grass it-is-green
παμπληθεῖς δὲ κῶμαι παρὰ τοὺς πρόποδας τοῦ ὄρους 17
very-many and villages along the foothills of-the mountain
εἰσίν. οἰκοῦσί τε αὐτὰς ἄνθρωποι τὰ μὲν ἐς κτῆσιν τῶν
are dwell both them men the-things indeed in possession of-the
ἐπιτηδείων εὐδαίμονες, εὐάλωτοι δέ, εἴ τις προσίοι.
necessities prosperous easy-to-take and if anyone should-come-against(-them)
ὅπερ αὐτοῖς ἐπηνώρθωσεν Ἰουστινιανὸς βασιλεύς, φρούριον 18
which for-them corrected Justinian emperor a-fort
ἐπὶ τοῦ ὄρους τῇ ἀκρωνυχίᾳ δειμάμενος, ἵνα δὴ τὰ
on the mountain the summit having-built that indeed the
σφίσιν ἐναποθέμενοι τιμιώτατα, ἐπειδὰν προσίοιεν οἱ
their(-things) having-deposited most-precious when come the
πολέμιοι, ἀνατρέχοντες διασώζωνται·
enemies running-up they-may-be-saved
Βασιλέων δὲ τὸ φρούριον ἐπωνόμασται. καὶ μὴν καὶ τὰ 19
of-Emperors and the fort has-been-named and indeed also the
ἀμφὶ πόλιν Ἄμιδαν φρούρια, πηλῷ τε περιβεβλημένα
about city Amida forts with-mud both surrounded
καὶ τοῖς πολεμίοις βάσιμα παντάπασιν ὄντα, ἐς τὸ
and to-the enemies passable altogether being to the

ἀκριβὲς ἀνοικοδομησάμενος ἅπαντα ἐς τῆς ἀσφαλείας
exact(-point) having-rebuilt all into of-the security
τὸ ἀκριβέστατον μετεστήσατο.
the most-exact be-changed(-them)
20 ἐν οἷς τό τε Ἀπάδνας καὶ τὸ Βυρθὸν πολίχνιόν ἐστιν.
among which the both Apadnas and the Byrthon small-town is
ἅπαντα γὰρ ἀκριβολογεῖσθαι πρὸς ὄνομα οὐκ εὐπετές
all for to-list-exactly by name not easy
ἐστι.
it-is
21 συνελόντα δὲ εἰπεῖν ἅπαντα πρότερον τοῖς
having-summed-up and to-say all(-things) formerly to-the-ones
ἐπιβουλεύουσιν ὑποκείμενα τανῦν ἀνανταγώνιστα πεποίηκεν
plotting subject now unassailable he-has-made
εἶναι. καὶ ἀπ᾽ αὐτοῦ ἡ Μεσοποταμία τῶν Περσῶν γένει
to-be and from it the Mesopotamia to-the of-Persians race
ἄβατος διαφανῶς ἐστιν.
impassable manifestly is
22 Οὐ σιωπητέον δὲ οὐδὲ ὅπερ ἐν τῷ Βάρας
not (one)-must-pass-over-in-silence and nor what in the Baras
φρουρίῳ ἐξεῦρεν, οὗπερ ἐπεμνήσθην ἀρτίως. τὰ μὲν
fort he-found which I-mentioned just-now the-parts indeed
γὰρ τοῦ φρουρίου ἐντὸς ἄνυδρα τὸ παράπαν ὄντα
for of-the fort within waterless the whole being
ἐτύγχανεν, ἐν ὄρει δὲ ὑψηλῷ μάλιστα κατὰ τὸ
happened on a-mountain and high most at the
κρημνώδες τὸ Βάρας τοῦτο πεποίηται.
precipitous(-part) the Baras this has-been-made
23 ἔκτοσθεν δὲ αὐτοῦ ὡς ἀπωτάτω ἐν τῇ ὑπωρείᾳ μετὰ τὸ
outside and it as farthest in the foothill after the
πρανὲς πηγὴ ἦν, ἥνπερ ἐδόκει ἀξύμφορον εἶναι τῷ
slope a-spring there-was which it-seemed inexpedient to-be with-the

τειχίσματι τοῦ φρουρίου περιβαλεῖν, ὡς μή τις αὐτοῦ
wall of-the fort to-surround so-that not some its
μοῖρα ἐν ὑπτίῳ κειμένη εὐάλωτος εἴη.
part in level lying easy-to-take might-be
ἐπενόει δὲ τάδε. τὰ ἐντὸς τοῦ περιβόλου διορύσσειν 24
he-devised and these(-things) the-parts within the circuit-wall to-dig-through
ἐκέλευεν ἕως ἐς τὸ μάλιστα ὁμαλὲς ἵκωνται. ὅπερ ἐπεὶ
he-ordered until to the most level they-came which when
ἐπετελέσθη κατὰ τὴν τοῦ βασιλέως ἐπίταξιν, ἐπιρρέον
it-was-completed according-to the of-the emperor command flowing-in
ἐνταῦθα τὸ ὕδωρ τῆς πηγῆς παρὰ δόξαν ἐφάνη. οὕτω
there the water of-the spring contrary-to expectation appeared thus
δὲ καὶ τὸ φρούριον δεδημιούργηται ξὺν τῷ ἀσφαλεῖ καὶ
and also the fort has-been-made with the security and
ὕδατος πέρι ἐν ἐπιτηδείῳ φαίνεται κείμενον.
of-water about in a-suitable(-way) appears lying

V · THEODOSIOPOLIS AND CONSTANTINA

Justinian rebuilt the crumbling wall of Theodosiopolis on the river Aborrhas, the city set before Roman land, so that it could check the Persian invasions of Mesopotamia. At Constantina the towers had stood so far apart that their defenders could not protect the space between them, and the outer wall, only three feet thick, was made of millstone below and of soft white stone above, bound with mud. He renewed the damaged parts of the circuit, especially on the west and north, set a new tower between every two, raised the whole wall, and made each tower a three-story castle with covered stairs. The city had good springs and a grove outside but none within, since its streets ran uphill, until he brought the water in by a channel and filled the city with fountains.

1 Οὕτω δὲ καὶ Θεοδοσιουπόλεως, τῆς παρὰ ποταμὸν Ἀβόρραν
thus and also of-Theodosiopolis the-one by river Aborrhas
γῆς τῆς Ῥωμαίων προβεβλημένης, τὸν περίβολον, ὅνπερ
of-the-land the of-Romans set-before the circuit-wall which
ὁ χρόνος κατεργάσασθαι μάλιστα ἴσχυσε, καὶ ἀπ᾽ αὐτοῦ τοῖς
the time to-work-ruin most was-able and from it to-the
τῇδε ἀνθρώποις οὐχ ὑπὲρ τῆς ἀσφαλείας ἐδίδου θαρρεῖν,
there men not about the safety it-gave to-be-confident
ἀλλὰ διηνεκὲς ἅπαντας ἐξέπλησσε, δεδισσόμενος ὅτι δὴ
but continually all it-terrified frightening(-them) that indeed
οὐκ εἰς μακρὰν αὐτοῖς ἐμπεσεῖται, ἀνοικοδομησάμενος ἐκ
not after long upon-them it-will-fall having-rebuilt for
τοῦ ἐπιπλεῖστον ὁ βασιλεὺς οὗτος διακωλύειν τάς γε
the most-part the emperor this to-prevent the at-least
κατὰ Μεσοποταμίαν Περσῶν ἐσβολὰς ἱκανῶς ἔσχεν.
against Mesopotamia of-Persians invasions sufficiently was-able

2 Οἷα δὲ καὶ ἐν Κωνσταντίνῃ ἐπιδέδεικται εἰπεῖν ἄξιον. ἦν
what-sort and also in Constantina he-has-displayed to-tell (is)-worth was
μὲν τὰ πρότερα ὁ Κωνσταντίνης περίβολος τό τε ὕψος
indeed the formerly the of-Constantina circuit-wall the both height
κλίμακι ἁλωτὸς τήν τε ἄλλην κατασκευὴν εὐέφοδος ἄγαν,
by-ladder takeable the both other construction easy-of-approach very
ὥσπερ τι πάρεργον γεγενημένος τοῖς πάλαι ἀνθρώποις.
as some by-work having-been-made by-the of-old men

3 τοσούτῳ γὰρ διειστήκεισαν οἱ πύργοι ἀλλήλων ὥστε,
so-far for stood-apart the towers from-one-another that
εἰ προσβαλοῦντές τινες ἐς τὴν μεταξὺ χώραν προσίοιεν,
if going-to-attack some to the between space came
οὐκ εἶχον οἱ κατὰ τοὺς πύργους ἑστῶτες καθότι
not were-able the-ones on the towers standing in-what-way
ἂν αὐτοὺς ἀμυνόμενοι ἀποκρούοιντο. ἀλλὰ μὴν καὶ
— them defending they-might-repel but indeed also

χρόνου μήκει πεπονηκὼς ἐκ τοῦ ἐπιπλεῖστον τοῦ
of-time by-length having-suffered for the most-part from-the
καταπεπτωκέναι οὐ μακράν που ἐγένετο.
to-have-fallen not far somewhere it-was
πρὸς δὲ καὶ τοιοῦτο τῇ πόλει προτείχισμα ἦν οἷον 4
besides and also such for-the city an-outer-wall there-was as
ἐπιτείχισμα κατ᾽ αὐτῆς γεγονέναι δοκεῖν. οὐ πλέον γὰρ
a-fortress against it to-have-been-made to-seem not more for
αὐτοῦ ἢ ἐς πόδας τρεῖς ἐγεγόνει τὸ πάχος, καὶ αὐτὸ
of-it than to feet three had-become the thickness and it
μέντοι πηλῷ σύνθετον, τὰ μὲν κάτω ἐς ὀλίγον
however with-mud put-together the-parts indeed below for a-little(-way)
ἐκ λίθου μυλίτου ἀνεστηκός, τὰ δὲ ὕπερθεν ἐκ τοῦ
from stone millstone(-grit) raised the-parts and above from the
λευκολίθου καλουμένου, σφαλεροῦ τε ὄντος καὶ μαλακοῦ
white-stone so-called unsafe both being and soft
λίαν. ὥστε δὴ ὅλον ἦν τοῖς ἐπιοῦσιν εὐάλωτον.
very so-that indeed whole it-was for-the-ones attacking easy-to-take
βασιλεὺς δὲ Ἰουστινιανὸς τὰ μὲν πεπονηκότα τοῦ 5
emperor and Justinian the-parts indeed having-suffered of-the
περιβόλου νέᾳ τινὶ ἀνεσώσατο οἰκοδομίᾳ, καὶ διαφερόντως
circuit-wall with-new some restored building and especially
τὰ πρὸς ἥλιον δύοντα τετραμμένα καὶ βορρᾶν ἄνεμον.
the-parts toward sun setting turned and north wind
τοῦ δὲ δὴ ἐρύματος πανταχῇ μεταξὺ πύργοιν δυοῖν 6
of-the and indeed fortification everywhere between towers two
ἄλλον ἐντέθεικε, καὶ ἀπ᾽ αὐτοῦ πύργοι ἅπαντες ὡς
another he-has-put and from this towers all as
ἀγχοτάτω ἀλλήλοις ὄντες τοῦ περιβόλου προβέβληνται.
nearest to-one-another being of-the circuit-wall are-set-before

7 ὅλῳ δὲ τείχει καὶ πᾶσι πύργοις μέγα τι χρῆμα ὕψους
to-whole and wall and to-all towers great some mass of-height
ἐνθέμενος ἄμαχον τοῖς πολεμίοις τὸ τῆς πόλεως ὀχύρωμα
having-put-in unassailable to-the enemies the of-the city fortification
κατεστήσατο.
he-made

8 ἀλλὰ καὶ ἀνόδους τοῖς πύργοις κεκαλυμμένας πεποιημένος,
but also ascents for-the towers covered having-made
τριωρόφους τε αὐτοὺς λίθων ἐπιβολαῖς τεκτηνάμενος
three-storied both them of-stones with-layings having-built
κυρτώμασι γεγονυίαις θόλων, πυργοκάστελλον αὐτῶν
with-curves made of-vaults tower-castle of-them
ἕκαστον εἶναί τε καὶ καλεῖσθαι πεποίηκε.
each to-be both and to-be-called he-has-made

9 καστέλλους γὰρ τὰ φρούρια τῇ Λατίνων καλοῦσι φωνῇ.
castella for the forts in-the of-Latins they-call tongue
ἀλλὰ καὶ ἀμφὶ τοῖς ὕδασιν ἡ Κωνσταντίνα τὰ ἀνήκεστα
but also about the waters — Constantina the incurable(-things)
ἔπασχε πρότερον.
suffered formerly

10 τὰ μὲν γὰρ ἐκτός, ὅσον ἐκ σημείου ἑνός, πηγαί τέ εἰσι
the-parts indeed for outside as-far-as from mile one springs both are
ποτίμων ὑδάτων καὶ ἄλσος ἐνθένδε φύεται ἐπιεικῶς μέγα,
of-drinkable waters and a-grove thence grows fittingly great
οὐρανομήκεσι κατάφυτον δένδροις· τὰ μέντοι ἐντός, ἵνα
with-sky-high planted trees the-parts however within where
δὴ οὐκ ἐφ᾽ ὁμαλοῦ, ἀλλ᾽ ἐν τῷ ἀνάντει τὰς ἀγυιὰς ξυμβαίνει
indeed not on level but on the steep the streets it-happens
εἶναι, ἄνυδρός τε ἦν ἡ πόλις ἐκ παλαιοῦ καὶ δίψῃ τε
to-be waterless both was the city from old and by-thirst both
καὶ ἀμηχανίᾳ πολλῇ οἱ τῇδε ᾠκημένοι ἐς ἀεὶ εἴχοντο.
and helplessness great the-ones there dwelling for ever were-held

βασιλεὺς δὲ Ἰουστινιανὸς ὀχετῷ τὸ ῥεῖθρον μεταβιβάσας 11
emperor and Justinian by-a-channel the stream having-brought-across
τοῦ τείχους ἐντός, κρήναις τε τὴν πόλιν ἀειρρύτοις
the wall within with-fountains both the city ever-flowing
διακοσμήσας, οἰκιστὴς ἂν αὐτῆς δικαίως καλοῖτο. τὰ
having-adorned founder — of-it justly would-be-called the-things
μὲν οὖν ἐς τάσδε τὰς πόλεις Ἰουστινιανῷ βασιλεῖ εἴργασται.
indeed then for these the cities by-Justinian emperor have-been-worked

VI · CIRCESIUM AND THE FORTS NEAR THEODOSIOPOLIS

Diocletian had built Circesium where the Aborrhas meets the Euphrates, walling it only to the river and leaving the river side open; the current had shaken its last tower. Justinian rebuilt that tower in millstone, walled the open side, added an outer wall at the junction of the two rivers, stationed a dux there, and raised the public bath, whose furnaces stood within reach of the floods, onto a new structure above them. He rebuilt Annoukas so that it yielded to no city in strength, and turned the mud-walled forts around Theodosiopolis, Magdalathon, Thannourios, and the rest, into fearful strongholds. Where the Saracens crossed the Aborrhas near Thannourios, scattered through the forest and the mountain, and overran the Romans living there, he built a stone tower with a strong garrison.

Ἦν δὲ Ῥωμαίων φρούριον παρὰ ποταμὸν Εὐφράτην ἐν 1
there-was and of-Romans a-fort by river Euphrates in
τοῖς Μεσοποταμίας ἐσχάτοις, ἵνα δὴ Ἀβόρρας ποταμὸς
the of-Mesopotamia extremities where indeed Aborrhas river
τῷ Εὐφράτῃ ἀναμιγνύμενος τὴν ἐκβολὴν ἐνταῦθα
with-the Euphrates mingling the outlet there
ποιεῖται.
makes

2 τοῦτο Κιρκήσιον μὲν ὀνομάζεται, βασιλεὺς δὲ αὐτὸ
this Circesium indeed is-named emperor and it
Διοκλητιανὸς ἐν τοῖς ἄνω χρόνοις ἐδείματο.
Diocletian in the former times built

3 Ἰουστινιανὸς δὲ τανῦν βασιλεὺς χρόνου τε μήκει
Justinian and the-present emperor of-time both by-length
εὑρὼν συντριβὲς γεγονός, ἀπημελημένον δὲ καὶ ἄλλως
having-found(-it) broken having-become neglected and also otherwise
ἀφύλακτον ὄν, ἐς ὀχύρωμα βεβαιότατον μετεστήσατο,
unguarded being into a-stronghold most-secure changed(-it)
πόλιν τε διεπράξατο μεγέθει καὶ κάλλει περιφανῆ εἶναι.
a-city both he-caused in-size and in-beauty conspicuous to-be

4 Διοκλητιανὸς μὲν γὰρ τηνικάδε τὸ φρούριον πεποίηται
Diocletian indeed for at-that-time the fort made
τοῦτο οὐχ ὅλον ἐν κύκλῳ τείχει περιβαλών, ἀλλὰ μέχρι
this not whole in a-circle with-a-wall having-surrounded but up
μὲν ἐς ποταμὸν Εὐφράτην ἐπεξαγαγὼν τὴν τοῦ περιβόλου
indeed to river Euphrates having-carried-out the of-the circuit-wall
οἰκοδομίαν καὶ πύργον ἑκατέρωθι ἀπεργασάμενος ἔσχατον,
building and a-tower on-each-side having-made last
ἀπολιπὼν δὲ τὴν ἐνθένδε τοῦ χωρίου πλευρὰν ἀτείχιστον
having-left and the on-this-side of-the place side unwalled
ὅλως, ἀποχρῆναι, οἶμαι, τὸ τοῦ ποταμοῦ ὕδωρ ἐς τὸ
wholly to-suffice I-think the of-the river water for the
τοῦ φρουρίου ὀχύρωμα τῇδε ἡγούμενος.
of-the fort strength thus thinking

5 προϊόντος δὲ χρόνου τὸν ἔσχατον πύργον, ὃς δὴ
going-forward and time the last tower which indeed
ἐτέτραπτο πρὸς ἄνεμον νότον, τὸ τοῦ ποταμοῦ ῥόθιον
was-turned toward wind south the of-the river current
παραξύον ἐνδελεχέστατα κατέσεισεν ὅλον, ἔνδηλός τε ἦν
grazing most-continually shook whole manifest both it-was

ὡς, εἰ μὴ βοηθοίη τις ὅ τι τάχιστα, καταπεσεῖται
that if not should-help someone as — quickest it-will-fall
αὐτίκα δὴ μάλα.
at-once indeed very
ἐφάνη τοίνυν Ἰουστινιανὸς βασιλεὺς τοῦτο πρὸς τοῦ θεοῦ 6
appeared therefore Justinian emperor this from — God
κεκομισμένος ἀξίωμα, πάσης ἐπιμελεῖσθαι καὶ ὡς ἔνι
having-received dignity of-all to-take-care and as is-possible
μάλιστα μεταποιεῖσθαι τῆς Ῥωμαίων ἀρχῆς·
most to-claim of-the of-Romans empire
ὃς δὴ οὐ μόνον τὸν πεπονθότα πύργον ἐσώσατο, 7
who indeed not only the having-suffered tower saved
ἀνοικοδομησάμενος αὐτὸν μυλίῳ λίθῳ καὶ φύσει
having-rebuilt it with-millstone stone and by-nature
σκληρῷ, ἀλλὰ καὶ τοῦ φρουρίου τὴν ἀτείχιστον πλευρὰν
hard but also of-the fort the unwalled side
ξύμπασαν ὀχυρωτάτῳ περιβέβληκε τείχει, διπλασιάσας
whole with-strongest has-surrounded wall having-doubled
αὐτῇ πρὸς τῷ ποταμῷ τὴν ἐκ τοῦ περιβόλου ἀσφάλειαν.
for-it at the river the from the circuit-wall safety
πρὸς ἐπὶ τούτοις δὲ καὶ προτείχισμα ἐχυρώτατον 8
besides upon these and also an-outer-wall most-strong
προσεποίησεν αὐτὸς τῇ πόλει, καὶ διαφερόντως οὗ
he-added himself to-the city and especially where
δὴ τοῖν ποταμοῖν ἡ ἐς ἀλλήλους ἐπιμιξία τρίγωνον
indeed of-the-two rivers the with one-another mingling a-triangular
ἀποτελεῖ σχῆμα, ταύτῃ τε τὰς ἐνθένδε τῶν πολεμίων
completes shape thus both the thence of-the enemies
ἐπιβουλὰς ἀπεκρούσατο.
plots he-repelled

9 καὶ στρατιωτικῶν δὲ καταλόγων ἄρχοντα τῇδε
and of-military too rolls a-commander there
καταστησάμενος, ὃν δοῦκα καλοῦσι, διηνεκὲς ἐνταῦθα
having-appointed whom dux they-call continually there
καθιζησόμενον, ἀποχρῶν φυλακτήριον πεποίηκεν εἶναι τῇ
to-be-stationed a-sufficient garrison he-has-made to-be for-the
τῆς πολιτείας ἀρχῇ.
of-the state empire

10 καὶ τὸ βαλανεῖον δέ, ὅπερ δημοσίᾳ τὴν χρείαν τοῖς τῇδε
and the bath too which publicly the use to-the-ones there
ᾠκημένοις παρέχεται, ἀνόνητον ὅλως τῇ τοῦ ποταμοῦ
dwelling provides useless wholly by-the of-the river
ἐπιρροῇ γεγενημένον ἐνεργεῖν τε τὰ ξυνειθισμένα οὐκέτι
inflow having-become to-perform both the accustomed(-functions) no-longer
ἔχον, ἐς τὸν νῦν ὄντα μετέθηκε κόσμον.
having into the now being he-changed(-it) beauty

11 ὅσα μὲν γὰρ αὐτοῦ ἀπεκρέματο πρότερον ἐπὶ στερρᾶς
what-things indeed for of-it hung formerly on solid
τῆς οἰκοδομίας ἑστῶτα κατὰ τὸ τῷ λουτρῷ τῇ χρείᾳ
the building standing at the for-the bath for-the use
ξυνοῖσον (ὧν δὴ ἔνερθε τὸ πῦρ καίεται, χυτρόποδάς
going-to-be-useful of-which indeed below the fire burns pot-stands
τε καλεῖν αὐτὰ νενομίκασι), ταῦτα δὴ ἅπαντα τῇ τοῦ
both to-call them they-are-accustomed these indeed all by-the of-the
ὕδατος ἐπιρροῇ ἀποκείμενα πρόσθεν εὑρών, καὶ ἀπ᾽ αὐτοῦ
water inflow lying-exposed before having-found and from it
τὴν χρείαν τῷ βαλανείῳ διεφθαρμένην, λίθων μὲν αὐτὸς
the use for-the bath ruined of-stones indeed himself
ἐμπεδώσας ἐπιβολαῖς ὅσα πρότερον ἀπεκρέματο, ᾗπέρ
having-made-firm with-layings what-things formerly hung as
μοι εἴρηται, ἑτέραν καθύπερθεν ἀποκρεμάσας οἰκοδομίαν,
by-me has-been-said another above having-hung building

ἵνα δὴ ἀπρόσοδα τῷ ποταμῷ ἐστιν, ἀνεσώσατο τὴν
where indeed inaccessible to-the river it-is he-restored the
ἐνθένδε εὐπάθειαν τοῖς τῇδε φρουροῖς. τὰ μὲν οὖν δὴ
thence comfort for-the there garrison the indeed then indeed
τοῦ Κιρκησίου ἐς τόνδε τὸν τρόπον δεδημιούργηται τῷ
of-the Circesium in this the manner has-been-made by-the
βασιλεῖ τούτῳ.
emperor this
Μετὰ δὲ τὸ Κιρκήσιον φρούριόν ἐστι παλαιόν, Ἀννούκας 12
after and the Circesium a-fort there-is old Annoukas
ὄνομα, οὗπερ ἐρείπιον τὸ τεῖχος εὑρὼν οὕτω δὴ
by-name whose ruined the wall having-found so indeed
μεγαλοπρεπῶς ἀνῳκοδομήσατο Ἰουστινιανὸς βασιλεὺς ὡς
magnificently rebuilt Justinian emperor that
μηδὲ τῶν τινος ἐπιφανεστάτων πόλεων ὀχυρώματος πέρι
not-even of-the any most-notable cities of-strength about
τὰ δευτερεῖα τὸ λοιπὸν φέρεσθαι.
the second-place for-the rest to-carry
τρόπῳ δὲ τῷ αὐτῷ καὶ τὰ φρούρια, ὅσα δὴ ἀμφὶ 13
in-manner and the same also the forts as-many-as indeed about
πόλιν Θεοδοσιούπολιν κεῖται, τὰ μὲν ἀτείχιστα πρότερον
city Theodosiopolis lie the-ones indeed unwalled formerly
ὄντα, τὰ δὲ πηλῷ τε καὶ τῇ ἐνθένδε γελωτοποιᾷ
being the-ones and with-mud both and with-the thence absurdity
τετειχισμένα αἱμασιᾶς τρόπον, φοβερά τε τανῦν καὶ τὸ
walled a-dry-wall's manner fearful both now and the
παράπαν ἀπρόσβατα τοῖς ἐπιοῦσιν εἰργάσατο·
whole inaccessible to-the-ones attacking he-made
τό τε Μαγδαλαθὼν σὺν ἑτέροιν δυοῖν, ἅπερ αὐτοῦ 14
the both Magdalathon with others two which of-it
ἑκατέρωθεν τυγχάνει ὄντα, καὶ Θαννούριος δύο, μικρόν
on-each-side happen being and Thannourios two small

τε καὶ μέγα, καὶ Βισμιδέων καὶ Θήμερες, ἔτι δὲ Βιδάμας
both and great and Bismideon and Themeres still and Bidamas
καὶ Δαυσαρῶν καὶ Θιόλλα, Φίλας τε καὶ Ζαμαρθὰς καὶ
and Dausaron and Thiolla Philas both and Zamarthas and
τὰ λοιπὰ ὡς εἰπεῖν ἅπαντα.
the rest so-to speak all

15 ἦν δέ τις χῶρος παρὰ Θαννούριος μέγα, ᾧ
there-was and a-certain place by Thannourios great in-which
δὴ ἐπιχωριάζειν Σαρακηνοῖς τοῖς πολεμίοις διαβαίνουσι
indeed to-sojourn for-the-Saracens the enemies crossing
τὸν ποταμὸν Ἀβόρραν πολλὴ ἐξουσία ἐγένετο, ἔνθεν
the river Aborrhas great license there-was from-where
δὲ ὁρμωμένοις διασκεδάννυσθαι μὲν ἀνά τε τὴν ὕλην
and setting-out to-scatter indeed through both the forest
δασεῖάν τε καὶ ἀμφιλαφῆ οὖσαν καὶ τὸ ὄρος, ὃ ταύτῃ
thick both and widespreading being and the mountain which there
ἀνέχει, καταθεῖν τε ἀδεέστερον τοὺς ᾠκημένους ἀμφὶ τὰ
rises to-overrun both more-fearlessly the-ones dwelling about the
ἐκείνῃ χωρία Ῥωμαίους.
there places Romans

16 ἀλλὰ νῦν πύργον κομιδῇ λίθου σκληροῦ Ἰουστινιανὸς
but now a-tower wholly of-stone hard Justinian
βασιλεὺς ἐν τῷ χώρῳ τούτῳ δειμάμενος ἐνταῦθά τε
emperor in the place this having-built there both
φρουρὰν ἀξιολογωτάτην καταστησάμενος ἀναστέλλειν
a-garrison most-considerable having-established to-check
τὰς τῶν πολεμίων ἐπιδρομὰς παντελῶς ἴσχυσε, τοῦτον
the of-the enemies incursions wholly was-able this
ἐπιτεχνησάμενος κατ᾽ αὐτῶν πρόβολον.
having-contrived against them a-bulwark

The Skirtos flows through the middle of Edessa by channels in the wall, and once in flood it broke down much of the wall and outer wall, destroyed the finest buildings, and killed a third of the people. Justinian rebuilt the church and the Antiphoros and cut a new course for the river outside the circuit, carving away a mountain on the left and building a huge wall on the right, so that a flood now runs off behind the hippodrome. He rebuilt the wall and outer wall of Edessa and replaced the short cross-wall on the hill above the city, which children could have taken, with a wall on the summit. He also rebuilt the walls of Carrhae and Callinicum and walled the fort at Batnae.

Τὰ μὲν οὖν ἐπὶ Μεσοποταμίας τῇδε Ἰουστινιανῷ 1
the-things indeed then in Mesopotamia thus by-Justinian
βασιλεῖ εἴργασται. ἀναγκαῖον δέ μοι ἐνταῦθα τοῦ λόγου
emperor have-been-worked necessary and for-me here of-the account
Ἐδέσσης τε καὶ Καρρῶν καὶ Καλλινίκου καὶ τῶν ἄλλων
of-Edessa both and of-Carrhae and of-Callinicum and of-the other
πολιχνῶν ἁπασῶν ἐπιμνησθῆναι, ἅσπερ ἐκείνῃ ξυμβαίνει
small-towns all to-make-mention which there it-happens
εἶναι, ἐπεὶ καὶ αὐταὶ τοῖν ποταμοῖν μεταξὺ κεῖνται.
to-be since also they the two-rivers between lie
τὴν Ἔδεσσαν ποταμὸς παραρρεῖ τὸ ῥεῦμα βραχύς, 2
— Edessa a-river flows-past in-the stream small
Σκιρτὸς ὄνομα, ὃς δὴ ἐκ χωρίων πολλῶν ξυνάγων
Skirtos by-name which indeed from places many gathering
τὸ ῥεῖθρον ἐπὶ τὴν πόλιν φέρεται μέσην.
the stream to the city is-carried middle
ἐνθένδε τε ἐξιὼν ἐπίπροσθεν ἴεται, ἐπειδὰν αὐτάρκη 3
thence both going-out further it-goes when sufficient
παρέχηται τῇ πόλει τὴν χρείαν τῶν τε εἰσόδων
it-provides for-the city the use the both entrances

αὐτοῦ καὶ ἐκβολῶν δι᾽ ὀχεταγωγίας κατὰ τὸ τεῖχος
its and outlets through aqueducts at the wall
πεποιημένων τοῖς πάλαι ἀνθρώποις.
having-been-made by-the of-old men

4 οὗτός ποτε ὁ ποταμός, ὄμβρων οἱ ἐπιγενομένων πολλῶν,
this once the river rains to-it having-come-upon many
ὑπερπεφυκώς τε ὑψοῦ ἀνεῖχε καὶ ὡς καταλύσων τὴν
having-overflowed both on-high rose and as going-to-destroy the
πόλιν ἐπῄει.
city came-upon

5 τοῦ τοίνυν προτειχίσματος καὶ τοῦ περιβόλου καθελὼν
of-the therefore outer-wall and of-the circuit-wall having-pulled-down
ἐς τὸ ἔδαφος πολλήν τινα μοῖραν τὴν πόλιν περιεβάλετο
to the ground great some part the city it-surrounded
σχεδόν τι ὅλην, ἔργα τε ἀνήκεστα τῇδε εἰργάσατο. τῶν
almost — whole deeds both incurable there it-worked of-the
τε γὰρ οἰκοδομημάτων τὰ κάλλιστα ἐξίτηλα ἐξαπιναίως
both for buildings the most-beautiful vanished suddenly
πεποίηται καὶ τῶν ἀνθρώπων τὸ τριτημόριον διεχρήσατο.
it-made and of-the men the third-part it-destroyed

6 βασιλεὺς δὲ Ἰουστινιανὸς μὴ ὅτι ἀνεσώσατο τῇ πόλει
emperor and Justinian not only restored for-the city
τὰ καθῃρημένα εὐθὺς ἅπαντα, ἐν οἷς ἥ τε τῶν
the-things pulled-down at-once all among which the both of-the
Χριστιανῶν ἐκκλησία καὶ ὁ καλούμενος Ἀντίφορος ἦν,
Christians church and the so-called Antiphoros was
ἀλλὰ καὶ ὅπως μή τι αὐτῇ καὶ αὖθις τοιοῦτο ξυμβαίη
but also that not anything to-it also again such befall
διεπράξατο σπουδῇ τῇ πάσῃ.
he-contrived with-zeal the all

πορείαν γὰρ ἑτέραν πρὸ τοῦ περιβόλου τῷ ποταμῷ 7
a-course for another before the circuit-wall for-the river
νεοχμοῦν ἴσχυσε, τοιᾷδε αὐτὸν περιελθὼν τέχνῃ.
to-make-new be-was-able with-such it having-circumvented art
τὰ μὲν ἐν δεξιᾷ τοῦ ποταμοῦ ὕπτιά τε καὶ χθαμαλὰ 8
the-parts indeed on right of-the river level both and low
πρότερον ἦν, τὰ δὲ δὴ ἐν ἀριστερᾷ ὄρος ἀπότομον,
formerly were the-parts and indeed on left a-mountain sheer
οὐκ ἐπιχωροῦν αὐτῷ ἐπικλίνειν που ἢ ἐκτρέπεσθαι τῆς
not allowing it to-incline anywhere or to-turn-aside from-the
ξυνειθισμένης ὁδοῦ, ἀλλ᾽ ἐπὶ τὴν πόλιν αὐτὴν διορθούμενον
accustomed way but to the city itself being-directed
ἀνάγκῃ τῇ πάσῃ. οὐ γὰρ ἦν τι αὐτὸν ἐπὶ δεξιᾷ
by-necessity the all not for was anything it on right
ξυμποδίζον, ἡνίκα ἂν τῆς πόλεως εὐθὺ φέροιτο.
hindering when — the city straight it-should-be-carried
τοῦτο οὖν τὸ ὄρος ἀποτεμὼν ὅλον κοῖλα μὲν τοῦ 9
this then the mountain having-cut-away whole hollow indeed of-the
ποταμοῦ τὰ ἐν ἀριστερᾷ καὶ γλαφυρώτερα τῆς αὐτοῦ
river the-parts on left and smoother of-the its
πορείας κατεσκεύαστο, ἐν δεξιᾷ δὲ τοῖχον ὑπερμεγέθη
course was-made on right and a-wall very-great
ἐκ λίθων ἁμαξιαίων συνέστησεν, ὥστε, εἰ μὲν κατὰ
of stones wagon-loads he-built so-that if indeed according-to
τὰ εἰωθότα ὁ ποταμὸς μέτριος φέρηται, μήποτε
the accustomed(-things) the river moderate be-carried never
ἀποστεροῖτο τῆς ἐνθένδε ὠφελείας ἡ πόλις, ἐπειδὰν δὲ
be-deprived of-the thence benefit the city when and
τύχῃ τινὶ ἐς ὕψος ἀρθεὶς ὑπερβλύζοι, μετρία μέν τις
by-chance some to height raised it-overflow moderate indeed some
αὐτοῦ ἐκροὴ ἐπὶ τὴν πόλιν κατὰ τὰ ξυνειθισμένα χωροίη,
its outflow to the city according-to the accustomed(-things) should-go

τοῦ δὲ ῥοθίου τὸ ἐπιγιγνόμενον ἐς τὴν Ἰουστινιανοῦ
of-the and rush the-part coming-on to the of-Justinian
ἐπιτέχνησιν ἀναγκαστὸν ἴοι, ἐς τοῦ ἱπποδρόμου τὰ
contrivance compelled should-go to of-the hippodrome the-parts
ὄπισθεν οὐ μακράν που ὄντος τέχνῃ τε ἀνθρωπείᾳ
behind not far somewhere being by-art both human
καὶ γνώμῃ προμηθεῖ παρὰ δόξαν νενικημένον.
and judgment provident contrary-to expectation conquered

10 ἀλλὰ καὶ τῷ ποταμῷ τῆς πόλεως γινομένῳ ἐντὸς
but also for-the river of-the city coming within
ὀρθήν τινα πορείας ἀνάγκην ἀπεργασάμενος, ὕπερθέν τε
straight some of-course constraint having-made above both
οἰκοδομίαν ἑκατέρωθι ἐπικρεμάσας, ὡς μὴ ἐκτρέπεσθαι
building on-each-side having-hung so-that not to-turn-aside
τῆς ὁδοῦ δύναιτο, καὶ τὴν χρείαν τῇ πόλει ἐσώσατο
from-the way it-could also the use for-the city he-saved
καὶ δέους αὐτὴν τοῦ ἐνθένδε ἀπήλλαξεν.
and from-fear it of-the thence freed

11 ἐτύγχανε δὲ τὸ Ἐδέσσης τεῖχος καὶ προτείχισμα, οὐδέν τι
happened and the of-Edessa wall and outer-wall nothing at-all
ἧσσον διὰ χρόνου μῆκος ἐν τοῖς ἐρειπίοις ταττόμενον
less through of-time length among the ruins ranked
ἐκ τοῦ ἐπιπλεῖστον.
for the most-part

12 διὸ δὴ ἄμφω ἀνοικοδομησάμενος βασιλεύς, νέα τε
wherefore indeed both having-rebuilt emperor new both
αὐτὰ κατεστήσατο καὶ πολλῷ ἐχυρώτερα ἢ πρότερον
them he-made and much stronger than before
ἦν.
they-were

μοῖρα δέ τις τοῦ Ἐδέσσης περιβόλου φρούριον κέκτηται, 13
part and certain of-the of-Edessa circuit-wall a-fort possesses
ἧς δὴ ἔκτοσθέν τις ἐπανεστήκει λόφος ὡς
of-which indeed outside a-certain rose hill as
πλησιαίτατα ὑποκειμένῃ ἐπικύπτων ἐνταῦθα τῇ πόλει·
very-near lying-below bending-over there to-the city
ὅνπερ ἐκ παλαιοῦ καταλαβόντες διατειχίσματι οἱ ἐπιχώριοι 14
which from old having-seized with-a-cross-wall the natives
ἐντὸς τοῦ περιβόλου πεποίηνται, ὡς μὴ ἐπίμαχον ποιοίη
within the circuit-wall made so-that not assailable it-make
τὴν πόλιν.
the city
ἀλλὰ ταύτῃ ἐπιμαχωτέραν αὐτὴν παραπολὺ ἀπειργάσαντο· 15
but thus more-assailable it by-far they-made
διατείχισμα γὰρ ὡς βραχύτατον ἐπὶ τῷ ἀνατεταμένῳ τῆς
cross-wall for as shortest on the rising of-the
γῆς κείμενον καὶ παιδαρίοις τειχομαχίαν ἐμμελετῶσιν
ground lying even to-little-boys wall-fighting practicing
ἁλώσιμον ἦν.
takeable was
οὗ δὴ ἐνθένδε καθῃρημένου ἕτερον ἐν τῇ ὄρους 16
which indeed thence having-been-pulled-down another on the of-mountain
ὑπερβολῇ τεῖχος ἀνέστη, Ἰουστινιανοῦ βασιλέως διαπόνημα,
height wall rose of-Justinian emperor a-work
δέος μὲν ἐξ ἐπιθέσεως καθύπερθε γενησομένης οὐδαμῇ
fear indeed from attack from-above about-to-happen in-no-way
ἔχον, συγκαταβαῖνον δὲ τῇ ὑπωρείᾳ μέχρι ἐς τὸ πρανὲς
having coming-down and to-the foothill as-far as the slope
ἑκατέρωθεν καὶ τῷ περιβόλῳ ἐναρμοζόμενον.
on-each-side and with-the circuit-wall fitting

17 Ἀλλὰ μὴν καὶ Καρρῶν καὶ Καλλινίκου πόλεως τά τε
but indeed also of-Carrhae and of-Callinicum city the both
τείχη καὶ τὰ προτειχίσματα καθελών, ἅπερ ὁ πολὺς
walls and the outer-walls having-pulled-down which the long
αἰὼν μεταξὺ ἐπιρρεύσας διέφθειρε, τανῦν ἀκραιφνῆ
age in-the-meantime having-flowed-on destroyed now intact
ἀπεργασάμενος, ἀμαχώτατα κατεστήσατο.
having-made most-unassailable he-made

18 ἔτι μέντοι καὶ φρούριον, ὃ ἐν Βάτναις ἦν, ἀτείχιστόν τε
still however also fort which in Batnae was unwalled both
καὶ ἀπημελημένον τὰ πρότερα ὄν, τείχεσιν ἐχυρωτάτοις
and neglected the formerly being with-walls strongest
περιβαλὼν ἐς τὸν νῦν φαινόμενον μετήνεγκε κόσμον.
having-surrounded into the now visible he-changed beauty

VIII · ZENOBIA

Elsewhere Roman and Persian lands are neighbors, but in Commagene, now Euphratesia, a barren desert divides them, where Diocletian built three forts of unburnt brick; Justinian renewed one of them, Mambri. Zenobia, wife of Odonathus, founded a small city near it, which the Romans left to ruin. Justinian rebuilt and resettled Zenobia, garrisoned it, and added a structure on top of the wall, called wings, to shield its defenders from the crags that overlooked it. He built a mole against the Euphrates, which had flooded the wall to its battlements, moved the cramped northern wall outward beyond the old ditch, fortified the hill that overlooked the city from the west, and built churches, barracks, baths, and stoas with the young engineers John of Byzantium and Isidorus of Miletus, nephew of the Isidorus mentioned earlier.

Ταῦτα μὲν οὖν τρόπῳ, ᾧπέρ μοι ἐρρήθη, ἐπί τε 1
these(-things) indeed then in-manner which by-me was-said in both
Μεσοποταμίας καὶ Ὀσροηνῆς τῆς καλουμένης Ἰουστινιανῷ
Mesopotamia and Osroene the so-called by-Justinian
βασιλεῖ πεποίηται.
emperor have-been-done
ὅντινα δὲ τρόπον Εὐφράτου ποταμοῦ τὰ ἐν δεξιᾷ 2
in-what and manner of-Euphrates river the-parts on right
ξυμβαίνει εἶναι, ἐγὼ δηλώσω. τὰ μὲν ἄλλα Ῥωμαίων τε καὶ
it-happens to-be I will-show the indeed other of-Romans both and
Περσῶν ὅρια τῇδέ πη ἔχει. γειτονοῦσιν ἑκατέρων ἀλλήλοις
of-Persians borders thus somehow are are-neighbors of-each-side to-one-another
τὰ χωρία, ὁρμώμενοί τε ἀπὸ τῶν οἰκείων ἀμφότεροι καὶ
the lands setting-out both from the own both and
διαμάχονται καὶ συμβάλλουσι τὰς συναλλαγάς, οἷά γε
fight-it-out and conclude the dealings such-as indeed
τὰ ἀνθρώπεια, ὁπηνίκα τοῖς τε ἤθεσι καὶ ταῖς πολιτείαις
the human(-things) whenever in-the both customs and the polities
διάφοροι ὄντες χώραν τινὰ ὅμορον ἔχουσιν.
different being land some bordering they-have
ἐν δέ γε τῇ πάλαι μὲν Κομαγηνῇ χώρᾳ, τανῦν 4
in and at-least the of-old indeed Commagene land now
δὲ καλουμένῃ Εὐφρατησίᾳ, οὐδαμῇ ἀλλήλων ἄγχιστα
and called Euphratesia in-no-way to-one-another near
ᾤκηνται. χώρα γὰρ ἔρημος καὶ ἄγονος ὅλως διορίζει
they-dwell a-land for desert and barren wholly divides
ἐπὶ μακρότατον τὰ Ῥωμαίων τε καὶ Περσῶν ὅρια,
for longest(-way) the of-Romans both and of-Persians borders
περιμάχητόν τε οὐδὲν ἔχουσα.
worth-fighting-for both nothing having

5 ἑκάτεροι μέντοι ἐν ἐρήμῳ, ἥπερ ἄγχιστα γῆς τῆς πρὸς
each(-side) however in desert which nearest to-land the by
αὐτῶν οἰκουμένης τυγχάνει οὖσα, φρούρια παρέργως
them inhabited happens being forts as-a-side-work
ᾠκοδομήσαντο ἐκ πλίνθου ὠμῆς·
built of brick unbaked

6 ἅπερ ἐπιβουλῆς οὐδεμιᾶς παρὰ τῶν πέλας ἔτυχε πώποτε,
which of-plot no from the neighbors met ever
ἀλλ᾽ ἀνεπιφθόνως ἀμφότεροι τῇδε ᾠκήσαντο, ἐπεὶ οὐκ
but without-envy both thus dwelt since not
εἶχον οὐδὲν ὅτου ἂν καὶ οἱ ἐναντίοι ἐφεῖντο.
they-had nothing which — even the opponents might-desire

7 βασιλεὺς δὲ Διοκλητιανὸς τρία φρούρια τὸν τρόπον
emperor and Diocletian three forts the manner
τοῦτον ἐν τῇ ἐρήμῳ ταύτῃ ἐδείματο· ὧνπερ ἕν, Μαμβρὶ
this in the desert this built of-which one Mambri
ὄνομα, καταπεπονηκὸς τῷ μακρῷ χρόνῳ Ἰουστινιανὸς
by-name worn-out by-the long time Justinian
ἀνενεώσατο βασιλεύς.
renewed emperor

8 Τούτου δὲ τοῦ φρουρίου ἐκ σημείων μάλιστα πέντε ἐς τὰ
of-this and the fort from miles about five to the
Ῥωμαίων ἤθη ἰόντι Ζηνοβία ποτὲ Ὀδονάθου γυνὴ τῶν ἐκείνῃ
of-Romans abodes going Zenobia once of-Odonathus wife of-the there
Σαρακηνῶν ἄρχοντος πόλιν ᾤκισέ που ἐνταῦθά τινα ἐν
Saracens ruler city founded somewhere there a-certain in
τοῖς ἄνω χρόνοις βραχεῖαν, καὶ τὸ ὄνομα ἀφῆκε τῇ πόλει.
the former times small and the name left to-the city

9 Ζηνοβίαν γὰρ αὐτήν, ὡς τὸ εἰκός, ἐπωνόμασεν. ἀλλὰ
Zenobia for it as the likely she-named but
πολὺς ἄγαν μετὰ ταῦτα ἐπιρρεύσας ὁ χρόνος ἐρείπιον
much very after these(-things) having-flowed-on the time ruined

αὐτῆς τὸν περίβολον κατεστήσατο, ἅτε Ῥωμαίων
its the circuit-wall made inasmuch-as Romans
αὐτῆς ἐπιμελεῖσθαι οὐδαμῇ ἀξιούντων, ἔρημόν τε αὐτὴν
for-it to-care in-no-way deeming deserted both it
τῶν ἐνοικούντων παντάπασι διειργάσατο.
of-the inhabitants altogether it-made
παρῆν οὖν Πέρσαις κατ᾽ ἐξουσίαν, ἡνίκα ἂν ᾖ 10
it-was-possible then for-Persians at will whenever — it-might-be
βουλομένοις σφίσιν, ἐν μέσοις γενέσθαι Ῥωμαίοις, ἀνηκόοις
wishing for-them in midst to-come-among Romans unaware
ἔτι τῆς τῶν πολεμίων ἐφόδου οὖσιν.
still of-the of-the enemies attack being
ἀλλὰ τὴν Ζηνοβίαν ἀνοικοδομησάμενος Ἰουστινιανὸς 11
but — Zenobia having-rebuilt Justinian
βασιλεὺς σύμπασαν, οἰκητόρων τε κατακόρως
emperor whole with-inhabitants both abundantly
ἐμπλησάμενος, ἄρχοντά τε στρατιωτικῶν καταλόγων καὶ
having-filled a-commander both of-military rolls and
διαρκὲς ἄγαν καταστησάμενος φυλακτήριον, πρόβολον μὲν
a-sufficient very having-established garrison a-bulwark indeed
εἶναι τῆς Ῥωμαίων ἀρχῆς, ἐπιτείχισμα δὲ διεπράξατο
to-be of-the of-Romans empire a-fortress-against and he-caused(-it)
Πέρσαις·
for-the-Persians
ὅς γε οὐχ ὅσον τὸ πρότερον ἀποδέδωκε σχῆμα, ἀλλὰ 12
who indeed not only the former restored form but
καὶ πλεῖστον ἐχυρωτέραν εἰργάσατο ἢ πρότερον ἦν.
also by-far stronger made than before it-was
σκόπελοι γὰρ αὐτὴν περιβάλλουσιν ὡς ἀγχοτάτω.
crags for it surround as nearest

13 τοῖς τε πολεμίοις διὰ ταῦτα ἐξῆν τοὺς ἐκ τοῦ
for-the both enemies because-of these(-things) it-was-possible the-ones from the
περιβόλου ἀμυνομένους κατὰ κορυφὴν ἐνθένδε βάλλειν.
circuit-wall defending from top thence to-shoot
14 ὅπερ ἀποκρούεσθαι διὰ σπουδῆς ἔχων οἰκοδομίαν τινὰ τῇ
which to-repel with zeal having building some to-the
τοῦ περιβόλου ὑπερβολῇ ἑτέραν ἐνῆψε κατ᾽ αὐτὸ μάλιστα
of-the circuit-wall height other he-joined at it most
τὸ τῶν σκοπέλων γειτόνημα, προκάλυμμα τοῖς ἐνθένδε
the of-the crags neighborhood a-cover for-the-ones thence
μαχομένοις ἀεὶ ἐσομένην. πτερὰ τὴν οἰκοδομίαν καλοῦσι
fighting always going-to-be wings the building they-call
ταύτην ἐπεὶ ὥσπερ ἀποκρέμασθαι τοῦ τείχους δοκεῖ.
this since as-if to-hang-from the wall it-seems
15 ἅπαντα μὲν οὖν ὅσα βασιλεὺς οὗτος ἐπὶ Ζηνοβίας
all indeed then what-things emperor this at Zenobia
εἰργάσατο φράσαι ἀμήχανον, ἐπεὶ ἐν χώρῳ ἐπὶ μακρότατον
did to-tell (is)-impossible since in a-place for longest(-way)
ἀγείτονι οὖσαν καὶ διὰ τοῦτο μὲν ἐν κινδύνοις ἀεὶ
without-neighbors being and because-of this indeed in dangers always
ἐσομένην, ἐπικουρίας δὲ τυχεῖν Ῥωμαίων πλησιοχώρων
going-to-be of-help and to-obtain Romans neighboring
οὐκ ὄντων αὐτῇ οὐκ ἂν δυναμένην, βεβαιοτάτης, ὡς τὸ
not being for-it not — able of-most-secure as the
εἰκός, ἐπιμελείας πάντων μάλιστα ἠξίωσεν· ὀλίγα
likely care of-all most he-deemed(-it)-worthy few
δέ μοι ἄττα τῶν τῇδε πεπραγμένων γεγράψεται.
and by-me some of-the there done-things will-be-written
16 Παραρρεῖ μὲν τὴν Ζηνοβίαν Εὐφράτης ποταμὸς πρὸς
flows-past indeed — Zenobia Euphrates river toward
ἀνίσχοντά που τὸν ἥλιον, ὡς ἀγχοτάτω τοῦ ἐκείνῃ
rising somewhere the sun as nearest of-the there

περιβόλου ἰών, ὀρῶν δὲ παρ᾽ αὐτὸν ὑψηλῶν ἀνεχόντων
circuit-wall going of-mountains and along it high rising
ἐν τούτῳ τῷ χώρῳ διασκεδάννυσθαι οὐδαμῇ ἔχων, ἀλλ᾽
in this the place to-spread-out in-no-way able but
ἀνάγκῃ τοῦ γειτονήματος τῶν ἐνταῦθα ὀρῶν, ταῖς τε ὄχθαις
by-necessity of-the neighborhood of-the there mountains by-the both banks
σκληραῖς οὔσαις πεπιεσμένος καὶ ἐν στενῷ μάλιστα
hard being pressed and in a-narrow(-space) most
ξυνάγων τὸ ῥεῦμα, ἐπειδὰν αὐτῷ ὄμβρων ἐπιγενομένων
gathering the stream when to-it rains having-come-upon
ὑπερβλύζειν ξυνενεχθείη, ἐπιχυθεὶς τῷ τείχει, εὐθὺς οὐκ
to-overflow it-happened having-poured-over upon-the wall at-once not
ἀμφὶ τὰ θεμέλια μόνον, ἀλλ᾽ ἄχρι ἐς τὰς ἐπάλξεις ἐπέκλυζεν.
about the foundations only but up to the battlements it-washed-over
οὗ δὴ τῷ ῥοθίῳ καταβεβρεγμένου ξυνέβαινε τὰς 17
which indeed by-the rush having-been-soaked it-happened the
ἐπιβολὰς ξυγχεῖσθαι τῶν λίθων, ἐπὶ σφαλερᾶς τε
layings to-be-loosened of-the stones on an-unsafe(-footing) both
αὐτῶν τὸ λοιπὸν τῆς ξυνθήκης ἑστάναι.
their the rest of-the joining to-stand
ἀλλὰ λίθων παμμεγέθη ἐκ λίθου μυλίου πρόβολον 18
but of-stones very-great from stone millstone a-bulwark
τῷ περιβόλῳ ἰσομήκη ἀπεργασάμενος ἐνταῦθα μὲν
for-the circuit-wall equal-in-length having-made there indeed
ἀεὶ ἐνοχλεῖν τὸ τοῦ ποταμοῦ κλυδώνιον ὑπερβλύζοντος
always to-trouble the of-the river surge overflowing
κατηνάγκασεν, ἐλεύθερον δὲ τὸ παράπαν τῆς ἐνθένδε
he-compelled free and the whole of-the thence
λώβης τὸ τεῖχος ἀφῆκεν, ἢν καὶ τὰ μάλιστα ὁ ποταμὸς
harm the wall he-left if even the most the river
κυμαίνων ἐς ὕψος ἐγείρηται μέγα.
billowing to height be-raised greatly

19 ταύτης δὲ τῆς πόλεως τὸν περίβολον, ὃς δὴ
of-this and the city the circuit-wall which indeed
αὐτῆς ἐτέτραπτο πρὸς βορρᾶν ἄνεμον, πεπονηκότα
its was-turned toward north wind having-suffered
παντάπασι χρόνου μήκει εὑρών, παρέλυσε μὲν σὺν τῷ
altogether of-time by-length having-found he-took-down indeed with the
προτειχίσματι ἐς τὸ ἔδαφος, ἀνῳκοδομήσατο δὲ οὐχ ᾗπερ
outer-wall to the ground he-rebuilt and not where
τὸ πρότερον ἦν, ἐπεὶ ἐνταῦθα αἱ τῆς πόλεως οἰκοδομίαι
the formerly it-was since there the of-the city buildings
στενοχωρούμεναι μάλιστα τοὺς ταύτῃ ᾠκημένους ἠνίων.
being-cramped greatly the-ones there dwelling distressed
20 ἀλλὰ τὴν προτέραν ὑπερβὰς τῶν τε θεμελίων τοῦ
but the former having-passed-beyond of-the both foundations of-the
περιβόλου καὶ τοῦ προτειχίσματος χώραν, ἔτι μέντοι καὶ
circuit-wall and of-the outer-wall place still however also
τὴν τάφρον αὐτήν, ἐνταῦθα τὸ τεῖχος ἐδείματο ἀξιοθέατόν
the ditch itself there the wall he-built worth-seeing
τε καὶ διαφερόντως εὐπρόσωπον, ταύτῃ εὐρυτέραν παρὰ
both and especially handsome thus wider by
πολὺ τὴν Ζηνοβίαν πεποιημένος.
much — Zenobia having-made
21 ἀλλὰ καὶ λόφος τις πρὸ τῆς πόλεως ἄγχιστα εἱστήκει
but also hill certain before the city nearest stood
παρὰ δύοντά που τὸν ἥλιον· ἐξ οὗ δὴ παρῆν
toward setting somewhere the sun from which indeed it-was-possible
τοῖς ἐπιοῦσιν ἀεὶ βαρβάροις βάλλειν κατὰ κορυφὴν
for-the attacking ever barbarians to-shoot from top
ἀδεέστερον τούς τε ἀμυνομένους αὐτῆς καὶ οὐχ ἥκιστα
more-fearlessly the both defending it and not least
τοὺς ἐν μέσῃ πόλει ἑστῶτας.
the-ones in middle-of city standing

τούτῳ οὖν τῷ λόφῳ τείχισμα ἐνάψας Ἰουστινιανὸς 22
to-this then the hill a-wall having-joined Justinian
βασιλεὺς ἑκατέρωθεν, ἐντός τε αὐτὸν τῆς Ζηνοβίας
emperor on-each-side within both it — of-Zenobia
καταστησάμενος, ἔξυσε μὲν ὅλον ἐνδελεχέστατα, ὡς
having-placed he-scraped indeed whole most-continually so-that
μή τις κακουργήσων ἐνθένδε ἀνίοι, τείχισμα δὲ ἄλλο
not anyone going-to-do-harm thence might-go-up a-wall and another
τοῦ λόφου ὕπερθεν ἔθετο, ἀπρόσοδόν τε ὅλως τὴν πόλιν
the hill above he-set inaccessible both wholly the city
οὕτως τοῖς ἐπιβουλεύειν ἐθέλουσιν ἀπειργάσατο.
thus for-the-ones to-plot wishing he-made
τοῦ μὲν γὰρ λόφου ἐκτὸς κοίλην εἶναι τὴν γῆν ἐς 23
of-the indeed for hill outside hollow to-be the ground to
ἄγαν συμβαίνει, καὶ διὰ τοῦτο ἐγγυτέρω ἰέναι τοὺς
excess it-happens and because-of this nearer to-go the
πολεμίους ἀδύνατον.
enemies (is)-impossible
ὑπὲρ γῆν δὲ τὴν κοίλην εὐθὺς τὰ ὄρη ἀνέχει, ἃ πρὸς 24
beyond ground and the hollow straightway the mountains rise which toward
ἥλιον δύοντα τέτραπται. οὐ μόνον δὲ τῇ πόλει τὰ ἐς
sun setting are-turned not only and for-the city the-things for
τὴν ἀσφάλειαν οὗτος ὁ βασιλεὺς ἐπρυτάνευσεν, ἀλλὰ καὶ
the safety this the emperor provided but also
ἱερὰ ταύτῃ ἀνέθηκε καὶ στρατιωτικῶν σημείων οἰκίας.
churches for-it he-dedicated and of-military standards houses
ἔτι μέντοι καὶ λουτρῶνας καὶ στοὰς προσεποίησεν 25
still however also baths and stoas he-added
αὐτῇ δημοσίας. ἐς ταῦτα δὲ πάντα Ἰσίδωρός τε καὶ
to-it public for these(-things) and all Isidorus both and
Ἰωάννης μηχανοποιοὶ τὴν ὑπουργίαν παρέσχοντο, Βυζάντιος
John engineers the service provided a-Byzantine

μὲν Ἰωάννης, Ἰσίδωρος δὲ Μιλήσιος γένος, Ἰσιδώρου
indeed John Isidorus and a-Milesian by-race of-Isidorus
ἀδελφιδοῦς, οὗπερ ἔμπροσθεν ἐπεμνήσθην, νεανίαι μὲν
nephew whom before I-mentioned young-men indeed
ἄμφω, δύναμιν δὲ φύσεως ὑπὲρ τὴν ἡλικίαν ἐπιδειξάμενοι
both power and of-nature beyond the age having-shown
καὶ τῇ ἐμπειρίᾳ τῶν τοῦ βασιλέως συνακμάσαντες ἔργων.
and in-the experience of-the of-the emperor having-flourished-together works

IX · SERGIOPOLIS, HIERAPOLIS, AND THE EUPHRATES TOWNS

Justinian rebuilt Soiron, which Chosroes had taken at once, its wall holding not even half an hour, and walled Sergiopolis, the shrine of Saint Sergius in Euphratesia, which had grown rich, with a strong wall, cisterns, houses, stoas, and a garrison, so that Chosroes later abandoned his siege. He rebuilt with stone the poor walls of Barbalissus, Neocaesarea, Gaboulon, Pentacomia, Europus, and Hemerium, adding cisterns and garrisons. He reduced the circuit of Hierapolis to what the city needed, and Procopius tells how its pool of drinking water, a safeguard in a siege, was fouled by its people in long peace. He also walled Zeugma and Neocaesarea, which had been towns only in name.

1 Μετὰ δὲ τὴν Ζηνοβίαν τὸ Σοίρων πόλισμα, πρὸς τῷ
after and — Zenobia the Soiron small-town by the
Εὐφράτῃ ποταμῷ κείμενον, οὕτω δὴ εὐκαταφρόνητον τὸ
Euphrates river lying so indeed contemptible the
τείχισμα εἶχεν ὥστε Χοσρόην προσβαλόντα ποτὲ οὐδὲ
wall had that Chosroes having-attacked once not-even
ὅσον ἡμιώριον ἀπεκρούσατο, ἀλλ' εὐθύωρον ἑάλω
as-much-as a-half-hour it-repelled but straightway it-was-taken
Πέρσαις.
by-Persians

ἀλλὰ καὶ τοῦτο, ὥσπερ Καλλίνικον, Ἰουστινιανὸς βασιλεὺς 2
but also this like Callinicum Justinian emperor
ἀνοικοδομησάμενος τὸ πολίχνιον ὅλον τείχει τε
having-rebuilt the small-town whole with-a-wall both
ἐχυρωτάτῳ περιβαλὼν καὶ προτειχίσματι κρατυνάμενος
strongest having-surrounded and with-an-outer-wall having-strengthened
μηκέτι εἴκειν προσβάλλουσι πολεμίοις διεσκευάσατο.
no-longer to-yield to-attacking enemies he-arranged
Ἔστι δέ τις νεὼς Σεργίῳ ἀνειμένος ἐν τῇ Εὐφρατησίᾳ 3
there-is and a-certain church to-Sergius dedicated in the Euphratesia
ἐπιφανεῖ ἁγίῳ, ὃν δὴ σέβοντές τε καὶ τεθηπότες
a-notable saint whom indeed revering both and marveling-at
οἱ πάλαι ἄνθρωποι Σεργιούπολίν τε ἐπωνόμασαν τὸ
the of-old men Sergiopolis both named the
χωρίον καὶ τειχίσματι βραχυτάτῳ περιβεβλήκασιν, ὅσον
place and with-a-wall very-short have-surrounded as-much-as
τοὺς ἐκείνῃ Σαρακηνοὺς ἀποκρούεσθαι οἷόν τε εἶναι ἐξ
the there Saracens to-repel able — to-be from
ἐπιδρομῆς αὐτὸ ἐξελεῖν.
an-incursion it to-take
ἀδύνατοι γὰρ τειχομαχεῖν εἰσι Σαρακηνοὶ φύσει, καί τι 4
unable for to-assault-walls are Saracens by-nature and any
αὐτῶν, ἂν οὕτω τύχοι, τείχισμα φαυλότατον καὶ
their — thus it-might-happen wall most-paltry and
πηλῷ σύνθετον ἐμπόδιον τῇ ὁρμῇ γίνεται.
with-mud put-together a-hindrance to-the onrush becomes
ἀλλ᾽ ὕστερον ὁ νεὼς οὗτος κειμηλίων προσόδῳ δυνατός 5
but later the church this of-treasures with-revenue powerful
τε καὶ ἀπόβλεπτος διὰ παντὸς ἦν.
both and admired through all was

6 ὃ δὴ λογισάμενος Ἰουστινιανὸς βασιλεὺς τὸ πρᾶγμα
which indeed having-reckoned Justinian emperor the matter
εὐθὺς ἐν ἐπιμελείᾳ πεποίηται, τείχει τε ἀξιολογωτάτῳ
at-once in care made with-a-wall both most-considerable
ἐν τοῖς μάλιστα περιβέβληκε, καὶ ὑδάτων θησαυρίσας
among the most he-has-surrounded(-it) and of-waters having-stored
μέγα τι χρῆμα πλήθειν αὐτοῖς ἐσκευάσατο.
great some quantity to-abound for-them he-arranged

7 ἔτι μέντοι καὶ οἰκίας τε καὶ στοὰς καὶ τὰς ἄλλας
still however also houses both and stoas and the other
οἰκοδομίας τῷ χωρίῳ ἐντέθεικεν, ἃ δὴ πόλεως
buildings to-the place he-has-put which indeed of-a-city
ἐγκαλλωπίσματα γίνεσθαι εἴωθεν.
adornments to-be are-wont

8 ἀλλὰ καὶ φρουρὰν τῇδε στρατιωτῶν εἰς καιρὸν τοῦ
but also a-garrison there of-soldiers for need of-the
περιβόλου ἀμυνομένων ἱδρύσατο.
circuit-wall defending he-established

9 Χοσρόης ἀμέλει ὁ Περσῶν βασιλεὺς ἐν σπουδῇ πεποιημένος
Chosroes of-course the of-Persians king in zeal having-made
τὴν πόλιν ἑλεῖν στράτευμά τε αὐτῇ ἐπὶ πολιορκίαν
the city to-take an-army both against-it for siege
πολὺ ἐπιστήσας ἄπρακτος ἐνθένδε ὀχυρώματος ἰσχύϊ
great having-set unsuccessful thence of-the-stronghold by-strength
τὴν προσεδρίαν διέλυσε.
the siege broke-up

10 Καὶ πολίσματα δὲ καὶ φρούρια πάντα ἐν ἐσχατιαῖς τῶν
and small-towns too also forts all in extremities of-the
Εὐφρατησίας ὁρίων ὄντα τῆς ὁμοίας ἐπιμελείας ἠξίωσε,
of-Euphratesia borders being of-the like care he-deemed-worthy
Βαρβαλισσοῦ τε καὶ Νεοκαισαρείας καὶ τοῦ Γαβούλων
of-Barbalissus both and of-Neocaesarea and of-the of-Gaboulon

καλουμένου καὶ τῆς πρὸς Εὐφράτῃ τῷ ποταμῷ Πεντακωμίας
so-called and of-the by Euphrates the river Pentacomia
καὶ τοῦ Εὐρώπου, ἔτι μέντοι καὶ τοῦ καλουμένου Ἡμερίου
and of-the Europus still however also of-the so-called Hemerium
τὰ τείχη εὑρὼν πὴ μὲν παρέργως τε καὶ ἐπὶ
the walls having-found in-one-place indeed carelessly both and on
σφαλερᾶς τῆς οἰκοδομίας γεγενημένα, πὴ δὲ καὶ μόνῳ
unsafe of-the building having-been-made in-another and also only
περιβεβλημένα πηλῷ, πιεζόμενα δὲ καὶ ὕδατος ἀπορίᾳ
surrounded with-mud pressed and also of-water by-lack
πολλῇ καὶ ἀπ᾽ αὐτοῦ τοῖς πολεμίοις εὐκαταφρόνητα
great and from this for-the enemies contemptible
παντάπασιν ὄντα, καθεῖλε μὲν εἰς τὸ ἔδαφος, ἐς δὲ τὸ
altogether being he-pulled-down indeed to the ground to and the
ἀκριβὲς λίθων ἐπιβολαῖς σκληρῶν μάλιστα δειμάμενος εὐθὺς
exact(-point) of-stones with-layings hard most having-built at-once
ἅπαντα, εὔρους τε καὶ ὕψους μέγα τι χρῆμα τῷ ἔργῳ
all of-breadth both and of-height great some quantity to-the work
κατὰ λόγον ἐνθέμενος, καὶ ὑδάτων ταμιεῖα τεκτηνάμενος
in proportion having-put-in and of-waters cisterns having-built
πανταχόσε τῶν ὀχυρωμάτων παμπληθῆ, ταῦτά τε κατακορῆ
everywhere of-the strongholds very-many these both full
ὕδασιν ὀμβρίοις καταστησάμενος ἅπαντα, ἱδρυσάμενος δὲ
with-waters rain having-made all having-established and
καὶ φρουρὸν ὅμιλον, ἐς τὴν νῦν φαινομένην ἀσφάλειαν
also a-garrison throng into the now visible safety
καρτερώτατα τὴν αὐτοῦ ἐπικράτειαν μετεβίβασεν.
most-strongly the his domain be-transferred
ἃ δὴ ἐπὶ μακρότατον ἄν τις διασκοπούμενος τάς 11
which indeed for longest(-time) — anyone considering the
τε ἄλλας ἁπάσας Ἰουστινιανοῦ βασιλέως ἀγαθοεργίας
both other all of-Justinian emperor good-deeds

ὑπεριδών, τούτου δὴ μόνου φαίη ἂν εἵνεκα τὴν
having-overlooked for-this indeed alone would-say — for-the-sake-of the
βασιλείαν παραλαβεῖν, τοῦ θεοῦ δηλονότι τὰ τῆς
empire to-have-received — God clearly the-things of-the
σωτηρίας Ῥωμαίων τῷ γένει διηνεκὲς πρυτανεύοντος.
safety of-Romans to-the race continually presiding-over

12 Πρὸς ἐπὶ τούτοις καὶ τὴν Ἱεράπολιν, ἥπερ ἁπασῶν πρώτη
besides upon these also — Hierapolis which of-all first
τῶν τῇδε πόλεων τυγχάνει οὖσα, λαβὼν ἀποκειμένην
of-the there cities happens being having-found(-it) lying-exposed
τοῖς ἐπιβουλεύειν ἐθέλουσι, προμηθεῖ διεσώσατο γνώμῃ.
to-the-ones to-plot wishing with-provident he-saved(-it) judgment

13 χώραν τε γὰρ ἔρημον τὰ πρότερα περιβεβλημένην πολλὴν
land both for deserted the formerly having-enclosed much
καὶ διὰ τοῦτο ἀφύλακτον οὖσαν, τῶν μὲν ἀνονήτων
and because-of this unguarded being of-the indeed useless
αὐτὴν περιόδων ἀπήλλαξεν, ἐπιτομώτερον δὲ σὺν τῷ
it circuits he-freed more-concise and with the
ἀσφαλεῖ καταστησάμενος τὸν περίβολον, ἔς τε τὸ τῆς
security having-made the circuit-wall into both the of-the
χρείας ἀναγκαῖον ξυναγαγὼν ἐχυρωτάτην τανῦν ἐν
need necessary having-drawn(-it)-together strongest now among
τοῖς μάλιστα διεπράξατο τὴν πόλιν εἶναι.
the most he-caused the city to-be

14 οὗ δὴ καὶ τόδε ἀγαθὸν εἴργασται. πότιμον ὕδωρ ἐκ
where indeed also this good has-been-worked drinkable water from
μυχῶν τῆς γῆς ἄνεισιν ἐν μέσῃ πόλει διηνεκῶς, λίμνην
recesses of-the earth comes-up in middle-of city continually pool
τέ τινα ἐνταῦθα εὐρεῖαν ποιεῖται.
both some there wide makes

τοῦτο πολεμίων μέν, ἂν οὕτω τύχῃ, προσεδρευόντων 15
this enemies indeed — thus it-might-happen besieging
γίνεται τῇ πόλει σωτήριον, ἐν δὲ ἀγαθοῖς πράγμασιν
becomes for-the city saving in and good affairs
οὐκ ἀναγκαῖον αὐτῇ ξυμβαίνει εἶναι, ἔξωθεν εἰσαγομένων
not necessary to-it it-happens to-be from-outside brought-in
ὑδάτων πολλῶν·
waters many
προϊόντος δὲ τοῦ χρόνου εἰρήνῃ μακρᾷ συμβεβιωκότες οἱ 16
going-forward and the time in-peace long having-lived the-ones
τῇδε ᾠκημένοι, ἀνάγκης δὲ οὐδεμιᾶς ἐς πεῖραν ἐλθόντες, ἐν
there dwelling of-necessity and no to trial having-come in
ὀλιγωρίᾳ τοῦτο πεποίηνται. οὐ γὰρ οἶδεν ἀνθρώπου φύσις
neglect this have-made not for knows of-man nature
ὑπὲρ τῶν παρόντων κακῶν ἐν εὐδαιμονίᾳ βουλεύεσθαι.
for the present evils in prosperity to-take-counsel
ῥύπου τοίνυν τὴν λίμνην ἐνδελεχέστατα ἐνεπλήσαντο, 17
with-filth therefore the pool most-continually they-filled
νηχόμενοί τε καὶ πλυνοὺς ἐνταῦθα ποιούμενοι καὶ
swimming both and washings there making and
ἀπορριπτοῦντες φορυτοὺς ἅπαντας ∗∗∗ Ἔκειτο δὲ καὶ
throwing-out rubbish all (lacuna) lay and also
ἄλλα ἄττα ἐν ταύτῃ δὴ τῇ Εὐφρατησίᾳ χωρία, Ζεῦγμά
other some in this indeed the Euphratesia places Zeugma
τε καὶ Νεοκαισάρεια.
both and Neocaesarea
αἳ δὴ πολίχναι μὲν ἄχρι ἐς τὸ ὄνομα ἦσαν, τείχεσι 18
which indeed small-towns indeed as-far as the name were with-walls
δὲ περιβέβληντο αἱμασιᾶς τρόπον.
and were-surrounded a-dry-wall's manner

19 τῷ μὲν γὰρ τῆς οἰκοδομίας κολοβῷ ἐσβατὰ πόνῳ οὐδενὶ
by-the indeed for of-the building stuntedness enterable with-toil no
τοῖς πολεμίοις ἐγίνετο, ἀδεέστερον ἐς αὐτὰ ἐσπηδᾶν ἔχουσι,
for-the enemies they-were more-fearlessly into them to-leap having
τῷ δὲ στενῷ λίαν ἀφύλακτα, οὐκ ἐχόντων τὸ παράπαν
by-the and narrowness very unguarded not having the whole
τῶν ἐνταῦθα φρουρῶν ὅποι ἂν ἑστῶτες ἀμύνοιντο.
of-the there guards where — standing they-might-defend(-themselves)
20 ἀλλὰ καὶ ταῦτα Ἰουστινιανὸς βασιλεὺς τείχεσιν ἀληθέσι
but also these Justinian emperor with-walls true
περιβαλὼν εὔρους τε καὶ ὕψους ἱκανῶς ἔχουσι, καὶ τῇ
having-surrounded of-breadth both and of-height sufficiently having and with-the
ἄλλῃ κατασκευῇ κρατυνάμενος, πόλεις τε διεπράξατο
other construction having-strengthened cities both he-caused
καλεῖσθαι δικαίως καὶ κρείσσους εἶναι τῆς τῶν πολεμίων
to-be-called justly and stronger to-be than-the of-the enemies
ἐπιβουλῆς.
plot

X · ANTIOCH

Chosroes, breaking the Endless Peace, invaded while the Roman army was in the West. At Antioch, now Theoupolis, Justinian shortened the long circuit, brought the Orontes closer to the walls, and moved the wall back from the height from which the city had been taken. After the Persian fire he cleared the ruins, laid out stoas, markets, theaters, and baths, and built a great church to the God-bearer.

1 Ἀλλὰ καὶ τῶν πόλεων τὰς Χοσρόῃ ἁλούσας (ἡνίκα
but also of-the cities the-ones by-Chosroes taken when
ὁ βάρβαρος οὗτος ἀλογήσας τὰ παρ᾽ αὐτοῦ
the barbarian this having-disregarded the-things by him

ὀμωμοσμένα ἐν ταῖς ἀπεράντοις σπονδαῖς καὶ τὰ διδόμενά
sworn in the endless treaties and the being-given
οἱ ἐπ᾽ αὐταῖς χρήματα, καὶ βασκανίᾳ μὲν ἐς
to-him on them moneys and by-envy indeed toward
Ἰουστινιανὸν βασιλέα ἐχόμενος, οἷς δὴ Λιβύης τε καὶ
Justinian emperor held by-which indeed of-Libya both and
Ἰταλίας τῷ πολέμῳ κύριος γέγονε, καὶ τὴν ἐς τὰ
of-Italy in-the war master he-has-become and the toward the-things
ὀμωμοσμένα πίστιν περὶ ἐλάσσονος τῆς ἐς ταῦτα
sworn faith about less than-the toward these(-things)
λύσσης πεποιημένος· καιροφυλακήσας δὲ ἀπολελειμμένου
madness having-made having-watched-his-time and left
ἐν τῇ ἑσπερίᾳ ἐκ τοῦ ἐπιπλεῖστον τοῦ στρατοῦ Ῥωμαίων
in the west for the most-part the army of-Romans
αὐτάγγελος βέβηκεν ἐς Ῥωμαίων τὴν γῆν, ἀνηκόων
self-announced has-gone into of-Romans the land unaware
ἔτι Ῥωμαίων ὄντων τῆς τῶν πολεμίων ἐφόδου), ἐς
still Romans being of-the of-the enemies attack into
τοῦτο δὴ μετεστήσατο βασιλεὺς Ἰουστινιανὸς ἀσφαλείας
this indeed changed(-them) emperor Justinian of-safety
καὶ κόσμου ὥστε ἁπάσας εὐδαιμονεστέρας κατὰ πολὺ
and of-beauty that all more-prosperous by much
τανῦν ἢ πρότερον εἶναι, καὶ μηκέτι πρὸς τὰς τῶν
now than before to-be and no-longer toward the of-the
κακουργησόντων βαρβάρων ἐφόδους περιδεεῖς εἶναι, μηδέ
going-to-do-harm barbarians attacks very-fearful to-be nor
τινι μηχανῇ πρὸς τὰς ἐπιβουλὰς ὑπόπτως ἔχειν.
by-any device toward the plots suspiciously to-be-disposed

2 Μάλιστα δὲ ἁπασῶν Ἀντιόχειαν, ἣ νῦν Θεούπολις
most and of-all Antioch which now Theoupolis
ἐπικέκληται, κόσμου τε καὶ ὀχυρώματος ἐνεπλήσατο
is-called with-beauty both and with-strength he-filled
πολλῷ μείζονος ἢ πρότερον εἶναι ξυνέβαινεν.
much greater than before to-be it-happened
3 ἦν μὲν γὰρ αὐτῆς τὸ παλαιὸν ὁ περίβολος μακρός
was indeed for its the of-old the circuit-wall long
τε ὑπεράγαν καὶ περιόδων πολλῶν ἀτεχνῶς ἔμπλεως,
both exceedingly and of-circuits many simply full
πὴ μὲν τὰ πεδία περιβαλὼν οὐδενὶ λόγῳ, πὴ
in-one-place indeed the plains enclosing with-no reason in-another
δὲ τὰς τῶν σκοπέλων ὑπερβολάς, καὶ ἀπ᾽ αὐτοῦ πλείοσιν
and the of-the crags heights and from this to-more
ἐπιβουλαῖς ὑποκείμενος.
plots subject
4 συστείλας δὲ αὐτὸν Ἰουστινιανὸς βασιλεὺς κατὰ τὸ
having-contracted and it Justinian emperor according-to the
χρείᾳ ξυνοῖσον, οὐ ταῦτα φρουρεῖν, ἅπερ καὶ πρότερον,
for-need going-to-be-useful not these(-parts) to-guard which also before
ἀλλὰ τὴν πόλιν ἐς τὸ ἀκριβὲς πεποίηκε μόνην.
but the city to the exact(-point) he-has-made alone
5 τὰ μὲν γὰρ κάτω τοῦ περιβόλου, ἔνθα ἡ πόλις
the-parts indeed for below of-the circuit-wall where the city
ἐπικινδύνως εὐρύνετο, ἐν μαλακῷ τε πεδίῳ κειμένη
dangerously was-widened in soft both a-plain lying
καὶ περιουσίᾳ τειχίσματος ἀφύλακτος οὖσα, μεταβιβάζει
and by-a-superfluity of-wall unguarded being he-moves(-it)
ὡς ἐνδοτάτω, ἐπικαιριώτατα στενοχωρήσας ἐνταῦθα τὴν
as innermost most-opportunely having-narrowed there the
πόλιν, περιστελλομένην τῷ πεπιέσθαι.
city drawn-in by-the being-pressed

ποταμὸν δὲ Ὀρόντην, ὅσπερ αὐτὴν παρέρρει ἐν περιόδοις 6
river and Orontes which it flowed-past in circuits
τὰ πρότερα οὖσαν, διωθήσατο μεταπορευθέντα τὸ ῥεῖθρον
the formerly being he-thrust(-aside) having-been-diverted the stream
τῷ περιβόλῳ γειτονεῖν.
to-the circuit-wall to-be-neighbor
αὖθις ὀχεταγωγίᾳ τὸν ῥοῦν ὡς ἀγχοτάτω περιελίξας, 7
again by-a-channel the flow as nearest having-wound-round
ταύτῃ τε καὶ τὸ σφαλερὸν τῆς ἀμετρίας ἀνῆκε τῇ
thus both also the danger of-the excess he-removed from-the
πόλει καὶ τὴν ἐκ τοῦ Ὀρόντου ἀσφάλειαν ἀνεσώσατο.
city and the from the Orontes safety he-restored
ἐνταῦθά τε νεοχμώσας γεφύρας ἑτέρας ζεύγματα τῷ 8
there both having-made-new bridges other spans for-the
ποταμῷ νέα ἐντέθεικε, περιαγαγὼν δὲ ὡς πορρωτάτω
river new he-has-put having-led-round and as farthest
τῆς χρείας αὐτόν, εἶτα τὴν προτέραν ἀπέδωκε πορείαν
of-the need it then the former he-gave-back course
τῷ ῥείθρῳ.
to-the stream
τὰ μέντοι ἄνω ἐς τὸ κρημνῶδες αὐτῷ κατὰ 9
the-parts however above toward the precipitous(-part) by-him in
τάδε διαπεπόνηται. ἐν τῇ τοῦ ὄρους ὑπερβολῇ, ἥνπερ
this-way have-been-worked-out on the of-the mountain height which
Ὀροκασσιάδα καλοῦσι, πέτρα τις τοῦ τείχους ἐκτὸς ὡς
Orocassias they-call rock certain of-the wall outside as
ἀγχοτάτω ἐτύγχανεν οὖσα, ἐξ ἀντιπάλου τε τοῦ περιβόλου
nearest happened being from opposite both the circuit-wall
ἐνταῦθα κειμένη καὶ λίαν ἐπιμαχώτατον αὐτὸν τιθεμένη.
there lying and very most-assailable it making

10 Χοσρόῃ ἀμέλει ἐνθένδε ἡ πόλις ἑάλω, ᾗπέρ μοι ἐν
by-Chosroes of-course thence the city was-taken as by-me in
λόγοις τοῖς ἐπιτηδείοις ἐρρήθη. τὰ δὲ τοῦ περιβόλου
accounts the suitable was-said the-parts and of-the circuit-wall
ἐντὸς ἔρημός τε χώρα καὶ δύσοδος ἐπιπλεῖστον ἦν.
within deserted both land and hard-to-traverse for-the-most-part was
11 πέτραι γὰρ ὑψηλαὶ καὶ χαράδραι ἀνέκβατοι διακεκλήρωνται
rocks for high and ravines impassable have-divided-up
τὸν χῶρον ἐκεῖνον, ἀδιεξόδους τὰς ἐνθένδε ποιούμεναι
the place that impassable the thence making
τρίβους, ὥσπερ ἀλλοτρίου ἐνταῦθά τινος ἄλλου τῶν
paths as-if foreign there (of)-some other than-the
Ἀντιοχέων τοῦ τείχους ὄντος.
Antiochenes the wall being
12 χαίρειν τοίνυν πολλὰ τῇ πέτρᾳ φράσας, ἥπερ ἐν
to-rejoice therefore much to-the rock having-bidden which in
γειτόνων τῷ τείχει οὖσα εὐάλωτον αὐτὸ διαφανῶς
neighborhood to-the wall being easy-to-take it manifestly
ἐσκαιώρητο, ὡς πορρωτάτω αὐτῆς περιβάλλειν τὴν πόλιν
had-made as farthest from-it to-surround the city
ἔγνω, ἀβουλίας πέρι τῶν πρότερον αὐτὴν δειμαμένων
he-decided of-thoughtlessness about of-the-ones before it having-built
ἀπὸ τῶν πραγμάτων τῆς πείρας πεποιημένος τὴν μάθησιν.
from the facts of-the experience having-made the learning
13 χώραν τε ὁμαλὴν μάλιστα τοῦ τείχους ἐντὸς τὴν τὰ
ground both level most of-the wall within the-ground the
πρότερα κρημνώδη οὖσαν ἀπεργασάμενος, ἀνόδους ταύτῃ
formerly precipitous being having-made ascents thus
πεποίηται οὐχ ὅσον ἀνδράσι πεζοῖς, ἀλλὰ δὴ καὶ ἱππεῦσι
he-has-made not only for-men on-foot but indeed also for-horsemen
βασίμους, ἔτι μέντοι καὶ ἁμαξηλάτους τὸ λοιπὸν οὔσας.
passable still however also wagon-driveable for-the rest being

ἀλλὰ καὶ βαλανεῖα καὶ ὑδάτων ταμιεῖα ἐν τοῖς ὄρεσι 14
but also baths and of-waters cisterns in the mountains
πεποίηται τούτου τοῦ τείχους ἐντός. φρέαρ τε ὤρυξεν
he-has-made this the wall within a-well both he-dug
ἐν πύργῳ ἑκάστῳ, τὴν πρότερον ἀνυδρίαν ἐνταῦθα οὖσαν
in tower each the former waterlessness there being
ὕδασιν ὑετίοις ἰώμενος.
with-waters rain curing
Ὅσα δὲ καὶ ἀμφὶ τῷ χειμάρρῳ πεποίηται, ὃς ἐκ τούτων 15
what-things and also about the torrent have-been-done which from these
δὴ τῶν ὀρέων κάτεισιν, εἰπεῖν ἄξιον. ὄρη μὲν ἀπότομα
indeed the mountains comes-down to-tell (is)-worth mountains indeed sheer
δύο τῇ πόλει ἐπῄρται, ἀλλήλοιν ξυνιόντα ὡς ἀγχοτάτω.
two over-the city are-raised to-one-another coming-together as nearest
τούτων θάτερον μὲν Ὀροκασσιάδα καλοῦσι, τὸ δὲ δὴ 16
of-these the-one indeed Orocassias they-call the and indeed
ἕτερον Σταυρὶν κέκληται. ἀπολήγοντα δέ πη αὐτὰ
other Staurin is-called ending and somewhere them
νάπη τις ζεύγνυσι καὶ χαράδρα μεταξὺ οὖσα, χειμάρρουν
glen certain joins and a-ravine between being a-torrent
ἐπιτελοῦσα, ἐπειδὰν ὗοι, Ὀνοπνίκτην ὄνομα, ὃς δὴ ἐξ
producing when it-rains Onopniktes by-name which indeed from
ὑπερδεξίων κατιὼν ὕπερθέν τε τοῦ περιβόλου φερόμενος
higher-ground coming-down above both the circuit-wall carried
ἐπὶ μέγα τε, ἂν οὕτω τύχοι, ἐξιστάμενος,
to great(-height) both — thus it-might-happen rising
διεσκεδάννυτο μὲν ἐς τοὺς τῆς πόλεως στενωπούς,
was-scattered indeed into the of-the city lanes
ἀνήκεστα δὲ κακὰ τοὺς ταύτῃ ᾠκημένους εἰργάζετο.
incurable and evils the-ones there dwelling it-worked

17 ἀλλὰ καὶ τούτου τὴν ἄκεσιν Ἰουστινιανὸς βασιλεὺς εὕρατο
but also of-this the cure Justinian emperor found
τρόπῳ τοιῷδε. πρὸ τοῦ περιβόλου, ὅνπερ ἄγχιστα τῆς
in-manner such before the circuit-wall which nearest the
χαράδρας ξυμβαίνει εἶναι, ἐξ ἧς ὁ χειμάρρους ἐπὶ τὸ
ravine it-happens to-be from which the torrent upon the
τείχισμα ἵετο, τοῖχον ἐδείματο ὑπερμεγέθη, ἐκ κοίλης
wall rushed a-wall he-built very-great from hollow
χαράδρας διήκοντα ἐς ἑκάτερον τοῖν ὀροῖν μάλιστα, ὡς
ravine reaching to each of-the two-mountains most so-that
μηκέτι περαιτέρω ἰέναι κυματοῦντι τῷ ποταμῷ δυνατὰ εἴη,
no-longer farther to-go for-the-surging the river possible might-be
ἀλλ᾽ ἐπὶ μακρότερον ξυνιστάμενος ἐνταῦθα λιμνάζοι.
but over a-longer(-time) gathering there it-might-form-a-pool
18 ἐν δὲ τῷ τοίχῳ θυρίδας ποιησάμενος ἐνθένδε ἀπορρέοντα
in and the wall windows having-made thence flowing-off
ὑπολήγειν κατὰ βραχὺ ἀνάγκῃ χειροποιήτῳ τὸν χειμάρρουν
to-subside little by-little by-necessity hand-made the torrent
διεσκευάσατο, οὐκέτι λάβρως τῷ παντὶ ῥεύματι τῷ
he-arranged no-longer violently with-the whole stream the
περιβόλῳ προσβάλλοντα, καὶ διὰ τοῦτο ὑπερβλύζοντά
circuit-wall striking and because-of this overflowing
τε καὶ τὴν πόλιν κατεργαζόμενον, ἀλλὰ πρᾴως τε καὶ
both and the city ruining but gently both and
προσηνῶς ὑπορρέοντα, ᾗπέρ μοι εἴρηται, ταύτῃ τε τῇ ἐκροῇ
mildly flowing-under as by-me has-been-said by-this both the outflow
διὰ τῆς ὀχεταγωγίας ἰόντα ὅποι ἂν αὐτὸν βουλομένοις ᾖ
through the channel going wherever — it for-the-ones-wishing it-be
περιάγειν οὕτω μέτριον γεγενημένον τοῖς πάλαι ἀνθρώποις.
to-lead-round thus moderate having-become to-the of-old men

Τὰ μὲν οὖν ἀμφὶ τῷ Ἀντιοχείας περιβόλῳ τῇδε 19
the-things indeed then about the of-Antioch circuit-wall thus
Ἰουστινιανῷ βασιλεῖ εἴργασται. καὶ ξύμπασαν δὲ πρὸς
by-Justinian emperor have-been-worked and whole too by
τῶν πολεμίων καταφλεχθεῖσαν ἀνῳκοδομήσατο τὴν πόλιν
the enemies burned-down he-rebuilt the city
αὐτός.
himself
τετεφρωμένων γὰρ πανταχόσε καὶ καθῃρημένων ἁπάντων, 20
reduced-to-ashes for everywhere and pulled-down all(-things)
λόφων τε μόνον ἐκ πόλεως ἐξηνθρακωμένης ἐπανεστηκότων
hills both only from a-city turned-to-charcoal rising
πολλῶν, ἄπορον τοῖς Ἀντιοχεῦσιν ἐγίνετο τήν τε χώραν
many impossible for-the Antiochenes it-was the both ground
ἐπιγνῶναι τῆς ἑκάστου ἰδίας γενομένης τὰ πρῶτα.
to-recognize of-the of-each own having-been the first
ἐκφορήσας οὖν τὸ συμπτωθὲν ἅπαν, οἰκίας τε πυρκαϊᾶς
having-carried-out then the fallen(-mass) all of-house both of-the-fire
περικαθῆραι τὰ λείψανα, ἔτι μέντοι δημοσίων στοῶν ἢ
to-clear the remains still however public stoas or
περιστύλων αὐλῶν οὐδαμῇ οὐσῶν, οὐδὲ ἀγορᾶς πη
colonnaded of-courts nowhere being nor of-a-marketplace anywhere
καθισταμένης, οὐδὲ τῶν στενωπῶν τὰς ἀγυιὰς διαιρούντων
being-set-up nor the lanes the streets dividing
τῇ πόλει, οἰκίας τινὸς οἰκοδομίαν ἀπαυθαδιάσασθαι.
in-the city of-house any building to-venture
ἀλλὰ βασιλεὺς οὐδεμιᾷ μελλήσει ὡς ἀπωτάτω τῆς 21
but emperor with-no delay as farthest from-the
πόλεως τὰ καθῃρημένα μετενεγκών, ἐλεύθερόν τε τὸν
city the-things pulled-down having-carried-off free both the
ταύτῃ ἀέρα ξὺν τοῖς ἔνερθεν τῶν ἐνοχλούντων
there air with the-ones below from-the-things troubling

καταστησάμενος, πρῶτα μὲν τὰ ἐδάφη πανταχόθι τῆς
having-made first indeed the grounds everywhere of-the
πόλεως λίθοις ἁμαξιαίοις ἐκάλυψεν.
city with-stones wagon-loads he-covered

22 ἔπειτα δὲ στοαῖς τε καὶ ἀγοραῖς αὐτὴν διακρίνας, καὶ
then and with-stoas both and marketplaces it having-divided and
διελὼν μὲν τοῖς στενωποῖς ἀμφόδους ἁπάσας, ὀχετοὺς
having-separated indeed with-the lanes blocks all channels
δὲ καὶ κρήνας καὶ ὑδροχόας καταστησάμενος, ὅσοις
and also fountains and conduits having-established with-which
ἡ πόλις κεκόμψευται, θέατρά τε αὐτῇ καὶ βαλανεῖα
the city has-been-adorned theaters both for-it and baths
πεποιημένος, καὶ ταῖς ἄλλαις δημοσίαις οἰκοδομίαις
having-made and with-the other public buildings
ἁπάσαις κοσμήσας, αἴσπερ εὐδαιμονία διαφαίνεσθαι πόλεως
all having-adorned with-which prosperity to-show-forth of-a-city
εἴωθε, τεχνιτῶν δὲ καὶ ἐπιδημιούργων πλῆθος ἐπαγαγών,
is-wont of-craftsmen and also of-builders a-multitude having-brought-in
ῥᾷόν τε καὶ ἀπονώτερον τοῖς ἐνοικοῦσι παρέσχετο
more-easily both and with-less-toil to-the inhabitants he-made-it-possible
δείμασθαι τὰς αὐτῶν ἰδίας οἰκίας.
to-build the their own houses

23 οὕτω τε Ἀντιόχειαν ἐπιφανεστέραν γεγονέναι τανῦν ἢ
thus both Antioch more-glorious to-have-become now than
πρότερον ἦν ξυνηνέχθη.
before it-was it-came-about

24 ἀλλὰ καὶ ἱερὸν ἐνταῦθα τῇ θεοτόκῳ πεποίηται μέγα·
but also a-church there to-the God-bearer he-has-made great
οὗ δὴ τό τε κάλλος καὶ τὸ ἐς ἅπαντα μεγαλοπρεπὲς
of-which indeed the both beauty and the in all(-things) magnificence

ἐπελθεῖν λόγῳ ἀμήχανον· ὃ δὴ καὶ προσόδῳ ἐτίμησε
to-go-through in-word (is)-impossible which indeed also with-a-revenue he-honored
χρημάτων μεγάλων.
of-moneys great
ἔτι μέντοι καὶ Μιχαὴλ τῷ ἀρχαγγέλῳ νεὼν παμμεγέθη 25
still however also to-Michael the archangel a-church very-great
ἐδείματο. προὐνόησε δὲ καὶ τῶν ἀρρωστήμασι πονουμένων
he-built he-provided and also for-the by-illnesses suffering
ἐνταῦθα πτωχῶν, οἰκία τε σφίσι καὶ τὰ ἐς τὴν
there poor houses both for-them and the-things for the
ἐπιμέλειαν καὶ τῶν νοσημάτων ἀπαλλαγὴν ἐν ἐπιτηδείῳ
care and of-the diseases deliverance in suitable(-way)
καταστησάμενος ἅπαντα, χωρὶς μὲν ἀνδράσι, χωρὶς δὲ
having-established all apart indeed for-men apart and
γυναιξί, καὶ οὐδέν τι ἧσσον τοῖς ξένοις ἐπὶ καιροῦ
for-women and nothing at-all less for-the strangers at time
γενομένοις ἐνταῦθα ἐνδήμοις.
having-been there residents

XI · CHALCIS, CYRUS, AND PALMYRA

Justinian renewed the weak wall of Chalcis with its outer wall. Cyrus, which the Jews had built in Syria when Cyrus freed them, had been neglected and left unwalled; out of care for the state and reverence for Saints Cosmas and Damian, whose bodies lie near it, he made it a fine city with a strong wall, guards, and public buildings, and reached its spring outside the walls by a hidden tunnel. He renewed the other towns and forts of Syria. Palmyra in Phoenicia, built to watch the Saracens' road, he walled again, supplied with water, and garrisoned.

1 Οὕτω δὲ καὶ Χαλκίδος πόλεως τὸν περίβολον, ἐπισφαλῶς
thus and also of-Chalcis city the circuit-wall unsafely
τε ἀρχὴν γεγονότα καὶ ὑπὸ τῶν ἐτῶν
both (from-the)-beginning having-been-made and by the years
κατερρακωμένον, σὺν τῷ προτειχίσματι ἀνανεωσάμενός
torn-to-rags with the outer-wall having-renewed
τε καὶ πολλῷ ἐχυρώτερον καταστησάμενος ἢ πρότερον
both and much stronger having-made than before
ἦν, ἐς τὸν νῦν φαινόμενον πεποίηται τρόπον.
it-was into the now visible he-has-made manner

2 Ἦν δέ τι ἐπὶ Συρίας κωμιδῇ ἀπημελημένον πολίχνιον,
there-was and a-certain in Syria wholly neglected small-town
Κῦρος ὄνομα, ὅπερ Ἰουδαῖοι ἐν τοῖς ἄνω χρόνοις ἐδείμαντο,
Cyrus by-name which Jews in the former times built
δορυάλωτοι μὲν ἐκ Παλαιστίνης ἐς τὴν Ἀσσυρίαν
captured-by-the-spear indeed from Palestine to — Assyria
ἀποκεκομισμένοι πρὸς τοῦ Μήδων στρατοῦ, παρὰ Κύρου δὲ
carried-off by the of-Medes army by Cyrus and
βασιλέως ἀφειμένοι πολλῷ ὕστερον· διὸ δὴ καὶ Κῦρον τὸ
king released much later wherefore indeed also Cyrus the
χωρίον ἐκάλεσαν, ταῦτα τῷ εὐεργέτῃ ἐκτίνοντες χαριστήρια.
place they-called this to-the benefactor paying thank-offering

3 προϊόντος δὲ τοῦ χρόνου ἡ Κῦρος τά τε ἄλλα
going-forward and the time — Cyrus the-things both other
ὑπερώφθη καὶ ἀτείχιστος ὅλως μεμένηκεν.
was-neglected and unwalled wholly has-remained

4 ἀλλὰ βασιλεὺς Ἰουστινιανὸς ἅμα μὲν πρόνοιαν τῆς
but emperor Justinian at-once indeed forethought for-the
πολιτείας ποιούμενος, ἅμα δὲ καὶ τοὺς ἁγίους Κοσμᾶν τε
state making at-once and also the saints Cosmas both
καὶ Δαμιανὸν τὰ μάλιστα σέβων, ὧν δὴ ἄγχιστά πη
and Damian the most revering whose indeed nearest somewhere

τὰ σώματα καὶ ἐς ἐμὲ κεῖται, πόλιν εὐδαίμονα καὶ λόγου
the bodies even to me lie a-city prosperous and of-account
ἀξίαν πολλοῦ, τείχους τε ἀσφαλείᾳ ἐχυρωτάτου καὶ φρουρῶν
worthy much of-wall both by-security strongest and of-guards
πλήθει καὶ οἰκοδομιῶν δημοσίων μεγέθει, καὶ τῆς ἄλλης
by-multitude and of-buildings public by-size and of-the other
κατασκευῆς τῷ ἐς ἄγαν μεγαλοπρεπεῖ, πεποίηται Κῦρον.
construction by-the to excess magnificence he-has-made Cyrus
ταύτης δὲ τῆς πόλεως τὰ μὲν ἐντὸς ὕδατος ἄπορα 5
of-this and the city the-parts indeed within of-water without-means
ἐκ παλαιοῦ ἦν, ἔκτοσθε δὲ ὑπερφυής τις ἐγεγόνει πηγή,
from old were outside and prodigious certain had-been spring
περιουσίᾳ μὲν πλήθουσα ποτίμων ὑδάτων, ἀνόνητος δὲ
with-abundance indeed teeming of-drinkable waters useless and
τοῖς τῇδε ᾠκημένοις παντάπασιν οὖσα, ἐπεὶ οὐκ εἶχον
for-the-ones there dwelling altogether being since not they-had
ὅθεν ἂν ἐνθένδε ἀρύοιντο ὕδωρ, ὅτι μὴ πόνῳ τε καὶ
whence — thence they-might-draw water except — with-toil both and
κινδύνῳ μεγάλῳ.
danger great
περιόδοις τε γὰρ αὐτόσε ἰοῦσιν ἀναγκαῖον ἐγίνετο χρῆσθαι, 6
circuits both for there going necessary it-was to-use
κρημνώδους χωρίου καὶ ὅλως ἀβάτου μεταξὺ ὄντος· καὶ
a-precipitous place and wholly impassable between being and
τοῖς πολεμίοις, ἂν οὕτω τύχῃ, ἐνεδρεύουσιν ὑποχείριοι
to-the enemies — thus it-might-happen lying-in-ambush subject
ῥᾷστα ἐγίνοντο.
most-easily they-became
διώρυχα τοίνυν ἔκτοσθε τῆς πόλεως ἄχρι ἐς τὴν κρήνην 7
a-tunnel therefore outside the city up to the spring
οὐκ ἀπαρακαλύπτως, ἀλλὰ κεκρυμμένως ὡς ἔνι
not openly but secretly as is-possible

μάλιστα πεποιημένος, ἄπονόν τε αὐτοῖς καὶ ἀκίνδυνον
most having-made toilless both for-them and without-danger
τὴν τοῦ ὕδατος παρέσχετο χρείαν.
the of-the water he-provided use

8 Καὶ Χαλκίδος δὲ πόλεως τὸν περίβολον ὅλον, ἔς τε τὸ
and of-Chalcis too city the circuit-wall whole to both the
ἔδαφος καθειμένον καὶ ἄλλως ἀφύλακτον ὄντα, ἐχυρᾷ
ground let-down and otherwise unguarded being with-strong
διαφερόντως ἀνενεώσατο οἰκοδομίᾳ, καὶ προτειχίσματι
especially he-renewed building and with-an-outer-wall
ἐκρατύνατο.
he-strengthened

9 ἔτι μέντοι καὶ τὰ ἄλλα Σύρων πολίσματά τε καὶ
still however also the other of-Syrians small-towns both and
φρούρια τὸν αὐτὸν κεκοσμηκὼς τρόπον ζηλωτὰ ἐπιεικῶς
forts the same having-adorned manner enviable fittingly
κατεστήσατο.
he-made

10 Οὕτω μὲν Συρίαν Ἰουστινιανὸς βασιλεὺς ἐν τῷ ἀσφαλεῖ
thus indeed Syria Justinian emperor in the security
διεσώσατο. πόλις δέ πού ἐστιν ἐπὶ Φοινίκης τῆς
preserved a-city and somewhere there-is in Phoenicia the-one
παρὰ Λίβανον Παλμύρα ὄνομα, ἐν χώρῳ μὲν πεποιημένη
by Lebanon Palmyra by-name in a-place indeed made
τοῖς πάλαι ἀνθρώποις ἀγείτονι, ἐν καλῷ δὲ τῆς
by-the of-old men without-neighbors in a-good(-position) and of-the
τῶν πολεμίων Σαρακηνῶν διόδου κειμένη.
of-the enemy Saracens passage lying

τούτου γὰρ δὴ ἕνεκα αὐτὴν καὶ ὠκοδομήσαντο 11
of-this for indeed for-the-sake it also they-built
πρότερον, ὡς μὴ λάθοιεν οἱ βάρβαροι οὗτοι ἐξάπινα
formerly that not might-escape-notice the barbarians these suddenly
ἐς τὰ Ῥωμαίων ἤθη ἐμβάλλοντες.
into the of-Romans abodes invading
ταύτην βασιλεὺς Ἰουστινιανὸς διὰ χρόνου μῆκος 12
this emperor Justinian through of-time length
ἔρημον ἐπὶ πλεῖστον γεγενημένην ὀχυρώμασί τε λόγου
deserted for most-part having-become with-strongholds both than-account
μείζοσιν ἐπιρρώσας, πρὸς δὲ καὶ ὑδάτων περιουσίας
greater having-strengthened besides and also of-waters with-abundance
καὶ φυλακτηρίου στρατιωτῶν ἐμπλησάμενος, τὰς τῶν
and with-a-garrison of-soldiers having-filled the of-the
Σαρακηνῶν ἐπιδρομὰς ἀνεχαίτισεν.
Saracens incursions he-checked

PROCOPIUS

ΠΕΡΙ ΚΤΙΣΜΑΤΩΝ

The Buildings, Book Three

Turning to Armenia, Procopius first tells how the Armenians came under Roman power. After the Parthians drove out the Macedonians, a Parthian king made his brother Arsaces king of the Armenians; later an Arsaces left two sons, giving Tigranes four times Arsaces' share. Tigranes put himself under the Persians, and Arsaces surrendered his part to Theodosius, so that the Persians held Tigranes' share and the Romans Arsaces', ruled by a count of Armenia. Justinian replaced the count with a general and soldiers. The five satraps of the other Armenia held their offices by birth and received insignia from the emperor, a cloak of pinna wool with a gold brooch, a silk tunic, and red boots; Zeno, after some sided with Illus and Leontius, left one satrap in his old office, removed the rest, and made the satrapies the emperor's to give rather than hereditary; Justinian abolished the satraps' title and set two duces with Roman soldiers over the peoples.

Χώραν μὲν τὴν ἑῴαν οὕτως Ἰουστινιανὸς βασιλεὺς 1
land indeed the eastern thus Justinian emperor
ὀχυρώμασιν ἐκρατύνατο, ᾗπέρ μοι ἐν τῷ ἔμπροσθεν λόγῳ
with-strongholds strengthened as by-me in the preceding account
ἐρρήθη. ἀρξαμένῳ δέ μοι ἐκ τῶν παρὰ Πέρσας ὁρίων
was-said having-begun and for-me from the toward Persians borders
τῆς Ῥωμαίων ἀρχῆς περιηγεῖσθαι τὰ πρὸς αὐτοῦ ἐρύματα
of-the of-Romans empire to-describe the by him fortifications
γεγενημένα, οὔ μοι ἀπὸ καιροῦ ἔδοξεν εἶναι ἐπὶ τοὺς
made not to-me out-of season it-seemed to-be to the
Ἀρμενίους ἐνθένδε ἰέναι, οἳ δὴ ἐκ πόλεως Ἀμίδης ἄχρι
Armenians thence to-go who indeed from city Amida up
ἐς Θεοδοσιούπολιν τὴν ἑτέραν προσοικοῦσι τοῖς Πέρσαις.
to Theodosiopolis the other dwell-beside the Persians
μέλλοντι δέ μοι τῶν ἐκείνῃ οἰκοδομημάτων ἐπιμνησθῆναι 2
being-about and for-me of-the there buildings to-make-mention
προυργιαίτατον φαίνεται εἶναι ὑπειπεῖν πρότερον ὅντινα
most-useful appears to-be to-explain first in-what

δὴ τρόπον σφαλερῶς ἄγαν βιοτεύοντας τοὺς Ἀρμενίους
indeed manner unsafely very living the Armenians
ὁ βασιλεὺς οὗτος ἐς τὴν παροῦσαν ἀσφάλειαν βεβαιότατα
the emperor this into the present safety most-securely
μεθηρμόσατο.
changed

3 οὐ γὰρ δὴ ὅσον οἰκοδομίαις τούτους τοὺς κατηκόους
not for indeed only with-buildings these the subjects
ἐσώσατο, ἀλλὰ καὶ τῇ ἄλλῃ προνοίᾳ, ἥπερ μοι αὐτίκα
he-saved but also with-the other forethought as by-me at-once
δὴ μάλα γεγράψεται. ἀρκτέον δὲ μικρὸν ἄνωθεν.
indeed very will-be-written one-must-begin and a-little from-above

4 Βασιλεὺς μὲν ὁμογενὴς πάλαι τοῖς Ἀρμενίοις καθίστατο,
a-king indeed of-the-same-race of-old for-the Armenians was-established
ἥπερ τοῖς ἀναγραψαμένοις τῶν ἱστοριῶν τὰ ἀρχαιότατα
as by-the-ones having-recorded of-the histories the most-ancient(-things)
δεδιήγηται.
has-been-related

5 ἐπειδὴ δὲ Ἀλέξανδρος ὁ Μακεδὼν τὸν Περσῶν βασιλέα
when and Alexander the Macedonian the of-Persians king
καθεῖλε, Πέρσαι μὲν δεδουλωμένοι ἡσυχῇ ἔμενον, Πάρθοι
overthrew Persians indeed enslaved quietly remained Parthians
δὲ Μακεδόσιν ἐπαναστάντες καὶ τῷ πολέμῳ
and against-the-Macedonians having-revolted and in-the war
περιγενόμενοι ἐξήλασάν τε αὐτοὺς ἐνθένδε καὶ τὰ
having-prevailed drove-out both them thence and the-lands
μέχρι ἐς Τίγριν ποταμὸν ἔσχον, ὑπ᾽ αὐτοῖς τε τὸ
up to Tigris river held under them both for-the
λοιπὸν ἐς ἔτη πεντακόσια ἔκειτο τὰ Περσῶν πράγματα,
rest for years five-hundred lay the of-Persians affairs
ἕως Ῥωμαίοις ὁ Μαμαίας Ἀλέξανδρος βασιλεὺς γέγονε.
until for-Romans the of-Mamaea Alexander emperor became

καὶ τότε τις τῶν ἐν Πάρθοις βασιλέων τὸν ἀδελφὸν τὸν 6
and then one of-the among Parthians kings the brother the
αὐτοῦ Ἀρμενίοις βασιλέα κατεστήσατο Ἀρσάκην ὄνομα,
his-own for-Armenians king established Arsaces by-name
ὥσπερ ἡ τῶν Ἀρμενίων ἱστορία φησί. μὴ γάρ τις
as the of-the Armenians history says not for anyone
Ἀρμενίους τοὺς Ἀρσακίδας οἰέσθω εἶναι.
Armenians the Arsacids let-think to-be
εἰρήνη γοῦν αὐτοῖς ἐς ἔτη τὰ πεντακόσια κατὰ τὸ 7
peace at-any-rate for-them for years the five-hundred by-reason-of the
ξυγγενὲς διαγέγονε.
kinship continued
καὶ ὁ μὲν τῶν Ἀρμενίων βασιλεὺς ἐν Ἀρμενίᾳ τῇ 8
and the indeed of-the Armenians king in Armenia the
μεγάλῃ καλουμένῃ καθῆστο, τῷ Ῥωμαίων αὐτοκράτορι
Great called sat to-the of-Romans emperor
ἐκ παλαιοῦ ὑποχείριος ὤν, χρόνῳ δὲ ὕστερον παῖδες
from old subject being in-time and later sons
ἐγένοντο Ἀρσάκῃ τινὶ Ἀρμενίων βασιλεῖ δύο, Τιγράνης
were-born to-Arsaces a-certain of-Armenians king two Tigranes
τε καὶ Ἀρσάκης ὀνόματα.
both and Arsaces by-names
ὅσπερ, ἐπεὶ ἔμελλε τὸν βίον διαμετρήσασθαι, διαθήκας 9
who when he-was-about the life to-measure-out a-will
τιθείς, ἄμφω τὼ παῖδε ποιεῖται διαδόχους αὑτῷ τῆς
making both the two-sons makes successors to-himself of-the
ἀρχῆς, οὐκ ἰσοστάσιον διορίσας ἑκατέρῳ τὸ κράτος,
rule not equal having-defined to-each the power
ἀλλὰ τῷ Τιγράνῃ τετραπλασίαν ἀπολιπὼν τὴν μοῖραν.
but to-the Tigranes fourfold having-left the share

10 Ἀρσάκης μὲν οὖν ὁ πατὴρ οὕτω τὴν βασιλείαν
Arsaces indeed then the father thus the kingdom
διοικησάμενος ἐξ ἀνθρώπων ἠφάνιστο, Ἀρσάκης δὲ ὁ
having-administered from men had-disappeared Arsaces and the
παῖς, ἐφ' οἷς δὴ αὐτῷ ἐλασσοῦσθαι ξυνέβη ἀγανακτῶν
son at which indeed to-him to-have-the-worse it-happened being-indignant
τε καὶ δυσφορούμενος ἐπὶ τῶν Ῥωμαίων τὸν αὐτοκράτορα
both and being-aggrieved before the of-Romans the emperor
τὸ πρᾶγμα ἦγε, τοῦ τε ἀδελφοῦ καταλῦσαι τὴν βασιλείαν
the matter brought of-the both brother to-destroy the kingdom
μηχανῇ πάσῃ ἐλπίδα ἔχων καὶ ἄδικον οὖσαν τὴν πατρὸς
by-device every hope having and unjust being the of-father
γνώμην ἀβέβαιον καταστήσεσθαι.
judgment unstable to-be-going-to-make

11 Θεοδόσιος δὲ τότε Ἀρκαδίου υἱὸς ἔτι παῖς ὢν κομιδῇ
Theodosius and then of-Arcadius son still a-child being quite
Ῥωμαίων ἦρχε. τίσιν τε δειμαίνων τὴν ἐκ βασιλέως
of-Romans ruled punishment both fearing the from emperor
Τιγράνης Πέρσαις αὐτὸν ἐνεχείρισε, τὴν βασιλείαν
Tigranes to-Persians himself entrusted the kingdom
παραδιδούς, περὶ πλείονός τε πεποιημένος ἰδιώτης ἐν
handing-over about more both having-made a-private-man among
Πέρσαις εἶναι ἢ πρὸς τοῦ ἀδελφοῦ δίκαια θέσθαι, καὶ
Persians to-be than with the brother just(-terms) to-make and
συμβασιλεύειν Ἀρμενίων αὐτῷ ὀρθῶς καὶ δικαίως.
to-reign-jointly over-Armenians with-him rightly and justly

12 καὶ Ἀρσάκης δὲ οὐδέν τι ἧσσον τὴν ἐκ Περσῶν τε
and Arsaces too nothing at-all less the from Persians both
καὶ ἀδελφοῦ ἐπιβουλὴν δείσας ἐξέστη τῆς βασιλείας
and brother plot having-feared withdrew-from the kingdom

τῆς αὐτοῦ Θεοδοσίῳ τῷ αὐτοκράτορι ἐπὶ ξυνθήκαις τισίν,
the his-own to-Theodosius the emperor on terms certain
αἵ μοι ἐν τοῖς ὑπὲρ τῶν πολέμων δεδήλωνται λόγοις.
which by-me in the about the wars have-been-shown accounts
καὶ χρόνον μέν τινα περιμάχητος Ῥωμαίοις τε καὶ 13
and (for)-time indeed some fought-over by-Romans both and
Πέρσαις ἡ τῶν Ἀρμενίων γεγένηται χώρα, ἐν ὑστάτῳ δὲ
by-Persians the of-the Armenians was land at last and
ξυνέβησαν, Πέρσας μὲν τὴν Τιγράνου μοῖραν, Ῥωμαίους
they-agreed Persians indeed the of-Tigranes share Romans
δὲ Ἀρσάκου ἔχειν.
and of-Arsaces to-hold
ἐπὶ τούτοις τε σπονδαὶ ἀμφοτέροις ξυνετελέσθησαν, καὶ τὸ 14
on these both treaties by-both were-concluded and for-the
λοιπὸν ὁ Ῥωμαίων βασιλεὺς ἄρχοντα τοῖς Ἀρμενίοις ἀεὶ
rest the of-Romans emperor a-governor for-the Armenians always
καθίστη ὅντινά ποτε καὶ ὁπηνίκα ἂν αὐτῷ βουλομένῳ εἴη.
appointed whomever ever and whenever — to-him wishing it-might-be
κόμητά τε τῆς Ἀρμενίας ἐκάλουν καὶ εἰς ἐμὲ τὸν ἄρχοντα 15
count both of-the Armenia they-called even to me the governor
τοῦτον.
this
Ἀλλ᾽ ἐπεὶ οὐχ οἵα τε ἦν ἡ τοιαύτη ἀρχὴ ἀποκρούεσθαι τὰς 16
but since not able — was the such office to-repel the
τῶν πολεμίων ἐφόδους, οὐ παρόντων αὐτῇ στρατιωτικῶν
of-the enemies attacks not being-present for-it of-military
καταλόγων, κατανενοηκὼς Ἰουστινιανὸς βασιλεὺς οὕτως
rolls having-perceived Justinian emperor thus
ἀτάκτως ἀεὶ φερομένην τὴν Ἀρμενίαν, ταύτῃ τε τοῖς
disorderly always carried the Armenia in-this-way both for-the
βαρβάροις εὐάλωτον οὖσαν, ταύτην μὲν τὴν ἀρχὴν
barbarians easy-to-take being this indeed the office

ἐνθένδε καθεῖλε, στρατηγὸν δὲ τοῖς Ἀρμενίοις ἐπέστησε,
thence he-abolished a-general and over-the Armenians he-set
στρατιωτικῶν τε καταλόγων αὐτῷ κατεστήσατο πλῆθος
of-military both rolls for-him he-established a-number
ἀξιόχρεων ταῖς τῶν πολεμίων ἐπιδρομαῖς ἀντιτάξασθαι.
sufficient to-the of-the enemies incursions to-be-arrayed-against

17 τὰ μὲν οὖν ἀμφὶ τῇ μεγάλῃ καλουμένῃ Ἀρμενίᾳ
the-things indeed then about the Great called Armenia
διῳκήσατο ὧδε, τῇ δὲ ἄλλῃ Ἀρμενίᾳ, ἥπερ ἐντὸς
he-administered thus over-the and other Armenia which within
Εὐφράτου ποταμοῦ οὖσα διήκει εἰς Ἄμιδαν πόλιν,
Euphrates river being extends to Amida city
σατράπαι ἐφειστήκεισαν Ἀρμένιοι πέντε, καὶ κατὰ γένος
satraps had-been-set Armenians five and by race
μὲν ἐς ἀεὶ ἐς τὰς ἀρχὰς ἐκαλοῦντο ταύτας, ἐχόμενοι
indeed for ever to the offices were-called these holding
αὐτῶν ἄχρι ἐς θάνατον.
them up to death

18 σύμβολα μέντοι αὐτῶν πρὸς τοῦ Ῥωμαίων βασιλέως
insignia however their from the of-Romans emperor
ἐδέχοντο μόνον. ἄξιον δὲ τὰ σύμβολα ταῦτα δηλῶσαι
they-received only worth and the insignia these to-show
λόγῳ, ἐπεὶ οὐκέτι ἐς ἀνθρώπου ὄψιν ἀφίξεται.
in-word since no-longer to of-man sight they-will-come

19 χλαμὺς ἡ ἐξ ἐρίων πεποιημένη, οὐχ οἷα τῶν
a-cloak the-one from wool made not such-as from-the
προβατίων ἐκπέφυκεν, ἀλλ᾽ ἐκ θαλάσσης συνειλεγμένων.
sheep grows but from sea gathered

πίννους τὰ ζῷα καλεῖν νενομίκασιν, ἐν οἷς ἡ τῶν ἐρίων 20
pinnae the creatures to-call they-are-accustomed in which the of-the wool
ἔκφυσις γίνεται. χρυσῷ δὲ ἡ τῆς πορφύρας κατείληπτο
growth comes-about with-gold and the of-the purple was-covered
μοῖρα, ἐφ' ἧς εἴωθεν ἡ τῆς ἁλουργίδος ἐμβολὴ γίνεσθαι.
part on which is-wont the of-the purple-robe insertion to-be
περόνη χρυσῆ τῇ χλαμύδι ἐπέκειτο, λίθον ἐπὶ μέσης 21
a-brooch golden on-the cloak lay stone in middle
περιφράττουσά τινα ἔντιμον, ἀφ' οὗ δὴ ὑάκινθοι τρεῖς
fencing-round some precious from which indeed hyacinths three
χρυσαῖς τε καὶ χαλαραῖς ταῖς ἁλύσεσιν ἀπεκρέμαντο.
with-golden both and loose the chains hung
χιτὼν ἐκ μετάξης ἐγκαλλωπίσμασι χρυσοῖς πανταχόθεν 22
a-tunic of silk with-ornaments golden everywhere
ὡραϊσμένος, ἃ δὴ νενομίκασι πλουμμία καλεῖν.
beautified which indeed they-are-accustomed plumia to-call
ὑποδήματα μέχρι ἐς γόνυ φοινικοῦ χρώματος, ἃ δὴ 23
shoes up to knee of-crimson color which indeed
βασιλέα μόνον Ῥωμαίων τε καὶ Περσῶν ὑποδεῖσθαι
king alone of-Romans both and of-Persians to-wear
θέμις.
(is)-lawful
Στρατιώτης δὲ Ῥωμαῖος οὔτε τῷ Ἀρμενίων βασιλεῖ οὔτε 24
a-soldier and Roman neither the of-Armenians king nor
σατράπαις ἤμυνε πώποτε, ἀλλὰ τὰ πολέμια κατὰ μόνας
the-satraps aided ever but the war(-affairs) by themselves
αὐτοὶ διῳκοῦντο.
they managed

25 χρόνῳ δὲ ὕστερον ἐπὶ Ζήνωνος βασιλεύοντος Ἰλλῷ
in-time and later under Zeno reigning with-Illus
τε καὶ Λεοντίῳ τετυραννηκόσιν ἐπὶ βασιλέα διαφανῶς
both and Leontius having-usurped against emperor openly
συντάσσεσθαί τινες τῶν σατραπῶν ἔγνωσαν.
to-side some of-the satraps decided

26 διὸ δὴ Λεόντιόν τε καὶ Ἴλλον Ζήνων βασιλεὺς
wherefore indeed Leontius both and Illus Zeno emperor
ὑποχειρίους πεποιημένος, σατράπην μὲν ἕνα φαυλοτάτην
subject having-made satrap indeed one a-most-paltry
ἀρχὴν ἔχοντα καὶ ὡς ἥκιστα λόγου ἀξίαν ἐν χώρᾳ
office having and as least of-account worthy in land
τῇ Βελαβιτίνῃ καλουμένῃ, ἐπὶ τοῦ προτέρου σχήματος
the Belabitene called in the former form
εἴασε, τοὺς δὲ λοιποὺς καθελὼν ἅπαντας οὐκέτι ἐς
he-allowed the-ones and rest having-removed all no-longer to
τοὺς κατὰ γένος σφίσι προσήκοντας ξυνεχώρησε τὰς
the-ones by race to-them belonging he-allowed the
ἀρχὰς φέρεσθαι, ἀλλ' ἑτέρους ἀεὶ τὴν ἀρχὴν διαδέχεσθαι
offices to-pass but others always the office to-succeed-to
διώρισε ταύτην οὓς ἂν βουλομένῳ βασιλεῖ εἴη, ὥσπερ
he-defined this whom — wishing emperor it-might-be as
ἐφ' ἁπάσαις ταῖς ἄλλαις διώρισται Ῥωμαίων ἀρχαῖς.
for all the other has-been-defined of-Romans offices

27 στρατιῶται μέντοι οὐδ' ὡς Ῥωμαῖοι αὐτοῖς εἵποντο,
soldiers however not-even so Roman them followed
ἀλλὰ τῶν Ἀρμενίων τινές, ἧπερ τὰ πρότερα εἴθιστο
but of-the Armenians some as the formerly it-was-customary
καὶ ἀπ' αὐτοῦ πολεμίους προσβάλλοντας ἀποκρούεσθαι
and from this enemies attacking to-repel
ἀδύνατοι ἦσαν.
unable they-were

ἃ δὴ καταμαθὼν Ἰουστινιανὸς βασιλεὺς τὸ μὲν τῶν 28
which indeed having-learned Justinian emperor the indeed of-the
σατραπῶν ὄνομα ἐξήλασεν ἐνθένδε εὐθύς, δοῦκας δὲ τοὺς
satraps name drove-out thence at-once duces and the-ones
καλουμένους δύο τοῖς ἔθνεσιν ἐπέστησε τούτοις·
called two over-the peoples he-set these
οἷς δὴ ξυνεστήσατο μὲν Ῥωμαίων στρατιωτῶν 29
for-whom indeed he-assembled indeed of-Roman soldiers
καταλόγους παμπληθεῖς, ἐφ' ᾧ τὰ Ῥωμαίων ξυμφυλάξουσιν
rolls very-many on which the of-Romans they-will-guard-with
αὐτοῖς ὅρια· ὀχυρώματα δὲ δεδημιούργηκεν αὐτοῖς κατὰ
them borders strongholds and he-has-built for-them as
τάδε.
follows

II · MARTYROPOLIS

Justinian placed one of the two duces at Martyropolis in Sophanene and the other at the fort of Citharizon. Martyropolis stands on the river Nymphius, which divides Roman land from Persian Arzanene, and it was so weak that its people, with the satrap Theodorus, surrendered it to Cavades in Anastasius' reign, for which the emperor thanked them. Its wall was about four feet thick and twenty high. Justinian built a second wall four feet outside it, filled the space between with stone and lime into one wall twelve feet thick, raised it, and added an outer wall.

Ἄρξομαι δὲ ἀπὸ τῶν ἐν Μεσοποταμίᾳ χωρίων, ὅπως δὴ 1
I-shall-begin and from the in Mesopotamia places so-that indeed
λόγος τοῖς ἔμπροσθέν μοι δεδιηγημένοις προσεχῶς
account with-the-things before by-me related continuously
ἄγοιτο. τὸν μὲν οὖν ἕνα, τὸν ἐν τοῖς Ἀρμενίων ἔθνεσιν
may-be-led the indeed then one the-one among the of-Armenians peoples

ἄρχοντα, ὃν δοῦκα καλοῦσιν, ἐν πόλει Μαρτυροπόλει
commander whom dux they-call in city Martyropolis
καλουμένῃ ἱδρύσατο, τὸν δὲ δὴ ἕτερον ἐν φρουρίῳ,
called he-stationed the-one and indeed other in fort
ὅπερ Κιθαρίζων καλοῦσιν.
which Citharizon they-call

2 ὅπη ποτὲ δὲ τῆς τῶν Ῥωμαίων ἀρχῆς τὰ χωρία τάδε
where ever and of-the of-the Romans empire the places these
ξυμβαίνει εἶναι, ἐγὼ δηλώσω. ἐν Ἀρμενίᾳ τῇ Σοφανήνῃ
happen to-be I will-show in Armenia the Sophanene
καλουμένῃ πόλις ἐστί που Μαρτυρόπολις ὄνομα παρ᾽
called a-city there-is somewhere Martyropolis by-name by
αὐτὸν ποταμὸν Νυμφίον κειμένη καὶ τοῖς πολεμίοις ὡς
very river Nymphius lying and to-the enemies as
ἀγχοτάτω πρόσοικος οὖσα· ἐπεὶ ὁ Νυμφίος ποταμὸς
nearest neighboring being since the Nymphius river
διορίζει ἐνταῦθα τά Ῥωμαίων τε καὶ Περσῶν ἤθη.
divides there the of-Romans both and of-Persians abodes

3 ἐπὶ θάτερα γὰρ τοῦ ποταμοῦ Ἀρξάνη ἡ χώρα οἰκεῖται
on the-other-side for of-the river Arzanene the land is-inhabited
Περσῶν κατήκοος ἐκ παλαιοῦ οὖσα. ἀλλὰ καὶ ὥς ἡ
of-Persians subject from old being but also so the
πόλις ἀπημελημένη Ῥωμαίοις τούτοις δὴ ἀεὶ τοῖς
city neglected by-Romans to-these indeed always the
βαρβάροις ἀπέκειτο.
barbarians lay-exposed

4 ὥστε ἀμέλει Καβάδης ὁ Περσῶν βασιλεὺς ἐπὶ
so-that of-course Cabades the of-Persians king under
Ἀναστασίου βασιλεύοντος ἐσέβαλε Ῥωμαίων τὴν γῆν,
Anastasius reigning invaded of-Romans the land

διὰ Μαρτυροπόλεως τὸ στράτευμα ἄγων, ἐπεὶ Ἀμίδης
through Martyropolis the army leading since from-Amida
ὀλίγῳ πλέον ἡμέρας ὁδῷ εὐζώνῳ ἀνδρὶ διειστήκει.
(by)-little more of-a-day by-journey for-a-well-girt man it-stood-apart
ὥσπερ δέ τι πάρεργον ὁδοῦ διαχειρίζων καὶ τῆς 5
as-if and some by-work of-the-way handling and of-the
ἐφόδου παρενθήκην τινὰ εὐθύωρον τὴν πόλιν ἐξεῖλεν,
attack addition some straightway the city he-took
οὐ τειχομαχήσας ἢ προσβολήν τινα ἢ προσεδρείαν
not having-assaulted-the-wall or attack any or siege
πεποιημένος, ἀλλὰ δηλώσας ὅτι δὴ ἀφίξεται μόνον.
having-made but having-announced that indeed he-will-come only
εὖ γὰρ εἰδότες οἱ τῇδε ᾠκημένοι ὡς οὐδὲ βραχεῖάν 6
well for knowing the-ones there dwelling that not-even short
τινα χρόνου στιγμὴν τῷ στρατοπέδῳ ἀνθέξουσιν, ἐπειδὴ
any of-time point against-the army they-will-hold-out when
ἀγχοῦ τῶν Μήδων στρατὸν ἥκοντα εἶδον, ἅμα Θεοδώρῳ
near the of-Medes army coming they-saw with Theodorus
τηνικάδε Σοφανήνης σατραπεύοντι καὶ τῆς σατραπείας
at-that-time of-Sophanene being-satrap and of-the satrapy
ἐνδιδυσκομένῳ τὸ σχῆμα, Καβάδῃ προσῆλθον εὐθύς, σφάς
wearing the dress to-Cabades they-came at-once them
τε αὐτοὺς καὶ Μαρτυρόπολιν αὐτῷ ἐνδιδόντες, φόρους
both selves and Martyropolis to-him surrendering taxes
τε τοὺς δημοσίους ἐνιαυτοῖν δυοῖν ἐν χερσὶν ἔχοντες.
both the public of-years two in hands having
οἷς δὴ ὁ Καβάδης ἡσθεὶς τῆς μὲν πόλεως καὶ 7
at-which indeed the Cabades pleased from-the indeed city and
χώρας ἁπάσης, ὡς τῇ Περσῶν ἀρχῇ προσηκούσης,
land whole as to-the of-Persians empire belonging
ἀπέσχετο, τοὺς δὲ ἀνθρώπους ἀθῴους ἀφῆκεν, οὔτε τι
he-refrained the and men unharmed he-released neither anything

λυμηνάμενος οὔτε τι τῆς πολιτείας μεταβαλών, ἀλλὰ
having-damaged nor anything of-the polity having-changed but
Θεόδωρον αὐτὸν αὐτοῖς σατράπην ἐπιστήσας καὶ αὐτῷ,
Theodorus himself over-them satrap having-set and to-him
ἅτε οὐ γεγονότι ἀγνώμονι, τὰ σύμβολα ἐγκεχειρικὼς τῆς
as not having-been ungrateful the insignia having-entrusted of-the
ἀρχῆς, ὡς τὴν χώραν φυλάξοντι Περσῶν.
office as the land going-to-guard of-Persians

8 οὕτω τε τὸ στράτευμα πρόσω ἀπαγαγὼν πολιορκίᾳ τε
thus both the army forward having-led-away by-siege both
Ἄμιδαν ἐξελὼν ἐς τὰ Περσῶν ἤθη ἀπήλαυνεν, ἥπέρ
Amida having-taken to the of-Persians abodes he-marched-away as
μοι ἐν λόγοις τοῖς ὑπὲρ τῶν πολέμων ἐρρήθη.
by-me in accounts the about the wars was-said

9 βασιλεὺς δὲ Ἀναστάσιος ἐξεπιστάμενος ὡς οὐχ οἷόν τε
emperor and Anastasius knowing-well that not possible —
ἦν Μαρτυρόπολιν ὀχύρωμα οὐδὲν ἔχουσαν ἐκ πολεμίων
it-was Martyropolis stronghold none having from enemies
διασώσασθαι προσβολῆς, οὐχ ὅπως ἐπὶ Θεόδωρον καὶ
to-save attack not only with Theodorus and
Σοφανηνοὺς ἠγανάκτησεν, ἀλλὰ καὶ χάριτας αὐτοῖς τῆς
Sophanenians was-indignant but also thanks to-them for-the
πράξεως ἔχειν ὡμολόγει πολλάς.
deed to-have he-confessed many

10 ταύτης οὖν τῆς Μαρτυροπόλεως τοῦ περιβόλου ἐτύγχανε
of-this then the Martyropolis the circuit-wall happened
τὸ μὲν πάχος διῆκον ἐς πόδας μάλιστα τέσσαρας, τὸ
the indeed thickness reaching to feet about four the
δὲ ὕψος ἄχρι ἐς εἴκοσιν· ὥστε τοῖς πολεμίοις αὐτὸν
and height up to twenty so-that for-the enemies it

οὐ τειχομαχοῦσιν οὐδὲ μηχανὰς προσβάλλουσι μόνον
not for-(those)-assaulting-walls nor engines bringing-up only
εὐέφοδον εἶναι, ἀλλὰ καὶ ἐσπηδῆσαι ἱκανῶς πρόχειρον.
easy-of-approach to-be but also to-leap-into sufficiently ready
Διὸ δὴ βασιλεὺς Ἰουστινιανὸς ἐπενόει τάδε τοῦ 11
wherefore indeed emperor Justinian devised these(-things) the
περιβόλου ἐκτὸς τὴν γῆν διορύξας, θεμέλιά τε ταύτῃ
circuit-wall outside the ground having-dug-through foundations both there
ἐνθέμενος τείχισμα ᾠκοδομήσατο ἕτερον ἐς ποδῶν πάχος
having-put a-wall built another to of-feet thickness
διῆκον τεσσάρων, χώραν διαλιπὼν μεταξὺ τεττάρων
reaching four a-space having-left between of-four
ἑτέρων τὸ εὖρος, ἐς ὕψος δὲ καὶ τοῦτο ἀναστήσας ποδῶν
others the breadth to height and also this having-raised of-feet
εἴκοσιν, ἴσον τῷ προτέρῳ παντάπασιν ἐσκευάσατο εἶναι.
twenty equal to-the former altogether he-arranged to-be
μετὰ δὲ λίθους τε καὶ τίτανον ἐς χῶρον τὸν μεταξὺ 12
afterward and stones both and lime into space the-one between
τείχους ἑκατέρου ἐμβεβλημένος ἐς μίαν τινὰ οἰκοδομίαν
wall each having-thrown into one some building
δυοκαίδεκα τὸ πάχος ποδῶν τὸ ἔργον τοῦτο ἀποτετόρνευται.
twelve the thickness of-feet the work this has-been-rounded-off
ὕπερθέν τε κατὰ πάχος τὸ αὐτὸ μάλιστα ἐς ὕψος 13
above both at thickness the same about to height
τοσοῦτον ἐντέθεικεν, ὅσον ξυνέβαινε τὸ πρότερον εἶναι.
so-great he-has-put as it-happened the former to-be
ἀλλὰ καὶ προτείχισμα λόγου πολλοῦ ἄξιον τῇ πόλει 14
but also an-outer-wall of-account much worthy for-the city
δεδημιούργηκε καὶ τὰ ἄλλα ἁπλῶς ἅπαντα οἷς δὴ
he-has-built and the other(-things) simply all by-which indeed
πόλεως ὀχύρωμα διασώζεται.
of-a-city strength is-preserved

At Pheison, a little less than a day's journey west of Martyropolis, and in the two narrow passes beyond it called Clisurae, through which every road from Persarmenia into Sophanene runs, Justinian built strongholds and garrisoned them. He built the fort of Citharizon in Asthianene, gave it water, and stationed the second dux there. In Chorzane, where Roman and Persian villages lie mixed with no natural boundary and their people intermarry and trade, neither side had a fortification, until he walled the place called Artaleson in the middle of the land and stationed a dux there.

1 Ἐκ δὲ Μαρτυροπόλεως ἐς δύοντά που τὸν ἥλιον
from and Martyropolis toward setting somewhere the sun
ἰόντι χωρίον ἐστὶ Φεισὼν ὄνομα ἐν Ἀρμενίᾳ μὲν καὶ
going a-place there-is Pheison by-name in Armenia indeed also
αὐτὸ κείμενον τῇ Σοφανήνῃ καλουμένῃ, Μαρτυροπόλεως
it lying the Sophanene called from-Martyropolis
δὲ ὀλίγον ἔλασσον ἢ ὁδῷ ἡμέρας διέχον.
and a-little less than a-journey of-a-day distant

2 τούτου δὲ τοῦ χωρίου ἐπέκεινα, ὅσον ἐκ σημείων
this and the place beyond as-far-as from miles
ὀκτὼ μάλιστα, ὄρη ἀπότομα καὶ παντάπασιν ἀδιέξοδα
eight about mountains sheer and altogether impassable
ξυνιόντα ἐς ἄλληλα στενωποὺς ἀπεργάζονται δύο,
coming-together toward one-another narrow-passes make two
ἄγχιστά πη ἀλλήλοιν ὄντας οὕσπερ νενομίκασι
nearest somewhere to-one-another being which they-are-accustomed
Κλεισούρας καλεῖν.
Clisurae to-call

3 τοὺς δὲ ἐκ Περσαρμενίας ἐπὶ Σοφανήνην πορευομένους,
for-the-ones and from Persarmenia to Sophanene journeying
εἴτε ἐξ αὐτῶν τῶν Περσικῶν ὁρίων εἴτε διὰ τοῦ
whether from the-very the Persian borders or through the

Κιθαρίζων φρουρίου ἴοιεν, ἀμήχανά ἐστιν ὅτι μὴ διὰ
Citharizon fort they-might-go impossible it-is except — through
τούτων δὴ τῶν δύο στενωπῶν ἐνταῦθα γενέσθαι.
these indeed the two narrow-passes there to-arrive
καλοῦσι δὲ αὐτῶν οἱ ἐπιχώριοι Ἰλλύρισιν μὲν τὸν ἕτερον, 4
call and of-them the natives Illyrisis indeed the one
τὸν δὲ ἄλλον Σαφχάς.
the and other Saphchas
ὅπως μὲν οὖν ἀναστέλλοιτο τοῖς πολεμίοις ἡ ἐνταῦθα ὁδὸς 5
that indeed then might-be-barred to-the enemies the there road
ἀσφαλείας τε αὐτῆς καὶ τῆς ἄλλης ἐπιμελείας ἄξια ἐν
of-security both its and of-the other care worthy among
τοῖς μάλιστα τὰ χωρία ταῦτα ὄντα ἐτύγχανεν. ἀλλὰ καὶ ὧς
the most the places these being happened but even so
ἀφύλακτα τὸ παράπαν μεμένηκε τοῖς πρόσθεν ἀνθρώποις.
unguarded the whole remained by-the earlier men
βασιλεὺς δὲ Ἰουστινιανὸς ἔν τε τῷ Φεισὼν κἀν τοῖς 6
emperor and Justinian in both the Pheison and-in the
στενωποῖς ὀχυρώματά τε ἀξιοθέατα καὶ στρατιωτῶν
narrow-passes strongholds both worth-seeing and of-soldiers
φρουρὰν ἀνανταγώνιστα καταστησάμενος, ἄβατον
a-garrison unassailable having-established impassable
βαρβάροις τὴν χώραν διεπράξατο παντάπασιν εἶναι.
for-barbarians the land he-caused altogether to-be
τὰ μὲν οὖν ἐπὶ χώρας Σοφανήνης καλουμένης τῇδε
the-things indeed then in land Sophanene called thus
Ἰουστινιανῷ βασιλεῖ εἴργασται.
by-Justinian emperor have-been-worked

7 Ἐν δὲ τῷ Κιθαρίζων χωρίῳ, ὅπερ ἐπὶ Ἀσθιανήνης τῆς
in and the Citharizon place which in Asthianene the
καλουμένης ἐστί, φρούριον οὐ πρότερον ὂν ἐν χώρῳ
called is a-fort not before being in a-place
λοφώδει ὑπερφυές τε καὶ δαιμονίως ἄμαχον κατεστήσατο·
hilly prodigious both and marvelously unassailable he-made
8 ἔνθα δὴ καὶ διαρκὲς ὕδωρ ἐσαγαγὼν τά τε ἄλλα
where indeed also sufficient water having-brought-in the-things both other
πάντα τοῖς τῇδε ᾠκημένοις ἐν ἐπιτηδείῳ πεποιημένος,
all for-the-ones there dwelling in a-suitable(-way) having-made
τὸν ἕτερον δοῦκα, ᾗπέρ μοι εἴρηται, ξὺν στρατιωτῶν
the other dux as by-me has-been-said with of-soldiers
ἐνταῦθα φρουρᾷ ἱκανωτάτῃ ἱδρύσατο. ταύτῃ τε τοῖς τῶν
there a-garrison most-sufficient he-stationed thus both for-the of-the
Ἀρμενίων ἔθνεσι τὴν ἀσφάλειαν ἀνεσώσατο.
Armenians peoples the safety he-restored
9 Ἐκ δὲ Κιθαρίζων ἔς τε Θεοδοσιούπολιν καὶ Ἀρμενίαν
from and Citharizon to both Theodosiopolis and Armenia
τὴν ἑτέραν ἰόντι Κορζάνη μὲν ἡ χώρα καλεῖται, διήκει
the other going Chorzane indeed the land is-called it-extends
δὲ ἐς ὁδὸν γ΄ ἡμερῶν μάλιστα οὔτε λίμνης τινὸς
and to a-journey of-three days about neither of-lake any
ὕδατι οὔτε ποταμοῦ ῥείθρῳ οὔτε ὄρεσι τὴν δίοδον ἐν
by-water nor of-river by-stream nor by-mountains the passage in
στενῷ εἴργουσι διοριζομένη τῆς τῶν Περσῶν γῆς,
a-narrow(-space) shutting being-divided from-the of-the Persians land
ἀλλὰ τῶν ὁρίων αὐταῖς ἀναμὶξ κειμένων.
but of-the borders to-them mingled lying
10 ὥστε οἱ ταύτῃ ᾠκημένοι, Ῥωμαίων ἢ Περσῶν ὄντες
so-that the-ones there dwelling of-Romans or of-Persians being
κατήκοοι, οὔτε τι ἀπ᾽ ἀλλήλων δέος ἔχουσιν οὔτε ἀλλήλοις
subjects neither any from one-another fear have nor to-one-another

πη ἐς ἐπιβουλήν εἰσιν ὕποπτοι, ἀλλὰ καὶ γάμους
in-any-way toward plotting are suspect but also marriages
ἀλλήλοις ἐπικηδεύουσι καὶ ἀγορὰν τῶν ἐπιτηδείων
with-one-another contract and a-market of-the necessities
συμβάλλονται καὶ τὰ ἐς γεωργίαν ἐπικοινοῦνται.
hold-together and the-things for farming share
ἢν δέ ποτε οἱ τῶν ἑτέρων ἄρχοντες ἐπὶ τοὺς ἑτέρους 11
if and ever the of-the one(-side) commanders against the others
στρατῷ ἴωσιν, ἐπιτεταγμένον σφίσι πρὸς τοῦ βασιλέως,
with-an-army go having-been-ordered to-them by the king
ἀφυλάκτους ἀεὶ τοὺς πλησιοχώρους εὑρίσκουσι.
unguarded always the neighbors they-find
χωρία μὲν γὰρ ἑκατέροις πολυανθρωπότατα ὡς ἀγχοτάτω 12
villages indeed for for-each most-populous as nearest
ἀλλήλων ἐστίν, ἔρυμα δὲ οὐδετέροις πη ἐκ παλαιοῦ
to-one-another are a-fortification and for-neither anywhere from old
ἦν.
was
παρῆν οὖν ἐνθένδε τῷ Περσῶν βασιλεῖ ῥᾷόν τε καὶ 13
it-was-possible then thence for-the of-Persians king more-easily both and
ἀπονώτερον τὴν δίοδον ἐς τὰ Ῥωμαίων ἤθη ποιεῖσθαι
with-less-toil the passage into the of-Romans abodes to-make
ἕως βασιλεὺς Ἰουστινιανὸς διακωλυτὴς αὐτῷ γέγονε
until emperor Justinian a-hinderer to-him became
τρόπῳ τοιῷδε. χωρίον ἦν ἐπὶ μέσης τῆς χώρας
in-manner such a-place there-was in middle-of the land
Ἀρταλέσων ὄνομα.
Artaleson by-name
τοῦτο τείχει ἐχυρωτάτῳ περιβαλὼν φρούριόν τε 14
this with-a-wall strongest having-surrounded a-fort both
ἀμαχώτατον ἐξειργάσατο καὶ στρατιωτικοὺς καταλόγους
most-unassailable he-made and military rolls

τῇδε ἱδρύσατο, οἷς δὴ ἄρχοντα ἐς ἀεὶ ἐφεστάναι
there he-stationed over-whom indeed a-commander for ever to-be-set
διώρισεν, ὅνπερ δοῦκα Ῥωμαῖοι τῇ Λατίνων καλοῦσι
he-defined whom dux Romans in-the of-Latins call
φωνῇ. οὕτω τε τὴν ἐσχατιὰν ἐκείνῃ ἐτειχίσατο ξύμπασαν.
tongue thus both the frontier there he-walled whole

IV · THE OTHER ARMENIA

Satala lay low among hills, with a weak, crumbling wall; Justinian replaced it with a new wall high enough to overtop the hills and added an outer wall, and built a fort in the land of the Osroeni nearby. He restored Colonia, the hill fort Pompey had taken, and paid the people to fortify their own fields. He built or renewed the forts of Baiberdon, Areon, Lysiormon, and Lytararizon, a fort at Germanus' fossatum, the walls of Sebasteia and Nicopolis, and churches and monasteries, among them a church to the God-bearer at Theodosiopolis and the monastery of the Forty Martyrs. At Melitene, where Trajan raised the Roman legion's camp to a city, Anastasius began a wall around the city that had grown outside the camp, and Justinian finished it.

1 Ταῦτα μὲν οὖν βασιλεῖ Ἰουστινιανῷ ταύτῃ ἐξείργασται.
these(-things) indeed then by-emperor Justinian thus have-been-worked
ὅσα δὲ αὐτῷ ἐπὶ τῆς ἄλλης Ἀρμενίας διαπεπόνηται
what-things and by-him in the other Armenia have-been-worked-out
ἐρῶν ἔρχομαι.
to-tell I-come

2 Σάταλα πόλις ἐπὶ σφαλερᾶς τὸ παλαιὸν ἐλπίδος εἱστήκει.
Satala a-city on unsafe the of-old hope stood
τῶν μὲν γὰρ πολεμίων τῆς γῆς ὀλίγῳ διέχει, ἐν
from-the indeed for of-enemies the land by-little it-is-distant on
δαπέδῳ δὲ χθαμαλῷ κεῖται, λόφοις τε πολλοῖς ἀμφ'
a-floor and low it-lies by-hills both many around

αὐτὴν ἐπανεστηκόσιν ὑπόκειται, περιβόλων τε αὐτῇ διὰ
it rising it-is-overlooked of-circuit-walls both for-it because-of
ταῦτα ἔδει τοῖς ἐπιβουλεύουσιν ἀμηχάνων ἑλεῖν.
these(-things) it-needed for-the-ones plotting impossible to-take
ἀλλὰ καὶ τοιαύτῃ τοῦ χωρίου τὴν φύσιν οὔσῃ τὰ ἐκ 3
but also such of-the place the nature being the-things from
τοῦ ἐρύματος σφαλερώτερα ἦν, φαύλως τε ἀρχὴν
the fortification more-unsafe were paltrily both (from-the)-beginning
τῇ κατασκευῇ καὶ παρέργως πεποιημένου καὶ τῷ μακρῷ
in-the construction and carelessly made and by-the long
χρόνῳ ἤδη τῆς οἰκοδομίας ἑκασταχοῦ διερρωγότος.
time already the building everywhere broken-through
ἀλλὰ τοῦτο περιελὼν ὁ βασιλεὺς ὅλον, περίβολον 4
but this having-removed the emperor whole a-circuit-wall
ᾠκοδομήσατο ἐνταῦθα νέον, ὑψηλὸν μὲν ὅσον ὑπερπεφυκέναι
built there new high indeed so-as to-overtop
τοὺς ἀμφ᾽ αὐτὸν λόφους δοκεῖν, εὐρυνόμενον δὲ ὅσον ἐπ᾽
the around it hills to-seem broadened and so-as on
ἀσφαλοῦς ἐπανεστηκέναι τό γε τοῦ ὕψους ὑπέρογκον.
a-secure(-base) to-rise the at-least of-the height excess
καὶ προτείχισμα πολλοῦ ἄξιον λόγου πηξάμενος ἐν κύκλῳ 5
and an-outer-wall of-much worthy account having-fixed in a-circle
τοὺς πολεμίους κατέπληξε. καὶ φρούριον δὲ Σατάλων
the enemies he-dismayed and a-fort too from-Satala
οὐ πολλῷ ἄποθεν ἐχυρὸν ἄγαν ἐν χώρᾳ Ὀσροηνῶν
not much off strong very in land of-Osroeni
καλουμένῃ ᾠκοδομήσατο.
called he-built
Ἦν δέ τι φρούριον ἐν τῇδε τῇ χώρᾳ ἐν ἀκρωνυχίᾳ 6
there-was and a-certain fort in this the land on summit
λόφου κατακρήμνου πεποιημένον τοῖς πάλαι ἀνθρώποις, ὃ
of-a-hill precipitous made by-the of-old men which

δὴ Πομπήιος ἐν τοῖς ἄνω χρόνοις ὁ Ῥωμαίων στρατηγὸς
indeed Pompey in the former times the of-Romans general
ἐξελὼν καὶ τῆς χώρας τῷ πολέμῳ κύριος γεγονὼς
having-taken and of-the land in-the war master having-become
ἐκρατύνατό τε ὡς μάλιστα καὶ Κολώνειαν ἐπωνόμασε·
strengthened both as most and Colonia named
7 καὶ τοῦτο οὖν χρόνῳ πεπονηκὸς τοσούτῳ τὸ πλῆθος
and this then by-time having-suffered so-great the amount
βασιλεὺς Ἰουστινιανὸς ἀνεσώσατο δυνάμει τῇ πάσῃ.
emperor Justinian restored with-power the all
8 καὶ χρήματα μέντοι προέμενος ἀνάριθμα τοῖς τῇδε
and moneys however having-spent countless for-the-ones there
ᾠκημένοις, ἐρύματα ἑκασταχοῦ διεπράξατο ἐν τοῖς αὐτῶν
dwelling fortifications everywhere he-caused in the their
ἰδίοις ἀγροῖς ἢ νέα δείμασθαι, ἢ ἀνοικοδομήσασθαι
own fields either new to-build or to-rebuild
σαθρὰ γεγονότα.
rotten having-become
9 ὥστε ἅπαντα σχεδόν τι ὀχυρώματα, ὅσα δὴ ἐνταῦθα
so-that all almost — strongholds as-many-as indeed there
ξυμβαίνει εἶναι, Ἰουστινιανοῦ βασιλέως τυγχάνει ἔργα ὄντα.
happen to-be of-Justinian emperor happen works being
10 ἐνταῦθα δὲ καὶ φρούρια ᾠκοδομήσατο τό τε Βαιβερδὼν
there and also forts he-built the both Baiberdon
καλούμενον καὶ τὸ Ἀρέων. καὶ τὸ Λυσίορμον ἀνενεώσατο
called and the Areon and the Lysiormon he-renewed
πεπονηκὸς ἤδη σὺν τῷ Λυταραρίζων.
having-suffered already with the Lytararizon
11 ἔν τε χωρίῳ, ὅπερ Γερμανοῦ καλοῦσι φοσσᾶτον, φρούριον
in both place which of-Germanus they-call fossatum a-fort
ἐδείματο νέον. ἀλλὰ καὶ Σεβαστείας καὶ Νικοπόλεως
he-built new but also of-Sebasteia and of-Nicopolis

τῶν Ἀρμενίας πόλεων τὰ τείχη, ἐπεὶ καταπεσεῖσθαι
the of-Armenia cities the walls since to-fall-down
πάντως ἔμελλε, τεταλαιπωρημένα τῷ μήκει τοῦ χρόνου,
wholly were-about worn-out by-the length of-the time
ἀνοικοδομησάμενος πεποίηται νέα.
having-rebuilt he-has-made new
καὶ ἱερῶν τε καὶ μοναστηρίων ἐνταῦθα οἰκοδομίας 12
and of-churches both and of-monasteries there buildings
ἐξείργασται. ἔν τε γὰρ τῇ Θεοδοσιουπόλει νεὼν τῇ
have-been-worked in both for the Theodosiopolis a-church to-the
θεοτόκῳ ἀνέθηκε, καὶ μοναστήρια ἔν τε χωρίῳ τῷ
God-bearer he-dedicated and monasteries in both place the
καλουμένῳ Πέτριος, κἂν τῷ Κουκαρίζων ἀνενεώσατο.
called Petrius and-in the Koukarizon he-renewed
ἔν τε Νικοπόλει τὸ τῶν ἁγίων τεσσαράκοντα πέντε 13
in both Nicopolis the of-the saints forty five
καλούμενον μοναστήριον, καὶ ἱερὸν Γεωργίῳ τῷ μάρτυρι
called monastery and a-church to-George the martyr
ἐν Βιζανοῖς ἐδείματο.
in Bizana he-built
τῆς τε Θεοδοσιουπόλεως ἄγχιστα μοναστήριον ἀνενεώσατο 14
the both Theodosiopolis nearest a-monastery he-renewed
τῶν τεσσαράκοντα μαρτύρων ἐπικαλούμενον.
of-the forty martyrs called
Ἦν δέ τι χωρίον ἐν τοῖς Ἀρμενίοις τὸ παλαιὸν 15
there-was and a-certain place in the Armenians the of-old
μικροῖς καλουμένοις οὐ πολλῷ ἄποθεν ποταμοῦ Εὐφράτου,
Lesser called not much off river Euphrates
ἐφ᾽ οὗ δὴ λόχος Ῥωμαίων στρατιωτῶν ἵδρυτο.
at which indeed a-company of-Roman soldiers had-been-stationed

16 Μελιτηνὴ μὲν τὸ χωρίον, Λεγεὼν δὲ ὁ λόχος
Melitene indeed the place Legion and the company
ἐπωνομάζετο. ἐνταῦθά πη ἔρυμα ἐν τετραγώνῳ ἐπὶ
was-named there somewhere a-fortification in a-square on
χώρας ὑπτίας ἐδείμαντο ἐν τοῖς ἄνω χρόνοις Ῥωμαῖοι,
ground level built in the former times Romans
τοῖς τε στρατιώταις ἀποχρώντως ἐς καταλύσεις ἔχον
for-the both soldiers sufficiently for quarters having
καὶ ὅπως σφίσι τὰ σημεῖα τῇδε ἐναποκείσονται.
and that for-them the standards there will-be-deposited

17 μετὰ δὲ Τραϊανῷ τῷ Ῥωμαίων αὐτοκράτορι δεδογμένον,
afterward and by-Trajan the of-Romans emperor having-been-decided
ἐς πόλεώς τε ἀξίωμα ὁ χῶρος ἀφῖκται καὶ μητρόπολις
to of-a-city both rank the place has-come and a-metropolis
κατέστη τῷ ἔθνει.
was-made for-the people

18 προϊόντος δὲ τοῦ χρόνου ἐγένετο ἡ τῶν Μελιτηνῶν
going-forward and the time became the of-the Melitenians
πόλις μεγάλη καὶ πολυάνθρωπος. ἐπεί τε ἐρύματος ἐντὸς
city great and populous when and fortification within
ἐνοικήσασθαι οὐκέτι εἶχον (ἐς γὰρ ὀλίγον τινὰ ξυνῄει
to-dwell no-longer they-were-able to for small some contracted
χῶρον, ᾗπέρ μοι εἴρηται) ἱδρύσαντο ἐν τῷ ταύτης
space as by-me has-been-said they-settled in the its
πεδίῳ, ἵνα δὴ τὰ ἱερὰ σφίσι πεποίηται καὶ τὰ τῶν
plain where indeed the churches for-them have-been-made and the of-the
ἀρχῶν καταγώγια καὶ τήν τε ἀγοράν, ὅσα τε ἄλλα
magistrates lodgings and the both marketplace whatever both other
ἐμπολημάτων πωλητήριά ἐστι, τάς τε τῆς πόλεως ἀγυιὰς
of-wares sale-places are the both of-the city streets

πάσας καὶ στοὰς καὶ βαλανεῖα καὶ θέατρα καὶ εἴ τι
all and stoas and baths and theaters and if anything
ἄλλο πόλεως μεγάλης ἐς κόσμον διήκει.
other of-a-city great to adornment reaches
τῷ τε τρόπῳ τούτῳ Μελιτηνὴν ἀστυγείτονα ἐκ τοῦ 19
in-the both manner this Melitene bordering-on-a-city for the
ἐπιπλεῖστον ξυνέβαινεν εἶναι. Ἀναστάσιος μὲν οὖν βασιλεὺς
most-part it-happened to-be Anastasius indeed then emperor
αὐτὴν ξύμπασαν τείχει περιβαλεῖν ἐγκεχείρηκεν.
it whole with-a-wall to-surround has-undertaken
οὔπω μέντοι τὸ βούλευμα ὑποτελέσας τὸν βίον 20
not-yet however the plan having-completed the life
συνεμετρήσατο. βασιλεὺς δὲ Ἰουστινιανὸς πανταχόθεν
measured-out emperor and Justinian on-all-sides
αὐτὴν κατατειχισάμενος μέγα τοῖς Ἀρμενίοις ὀχύρωμά τε
it having-walled great for-the Armenians a-stronghold both
καὶ ἐγκαλλώπισμα Μελιτηνὴν ἀπειργάσατο.
and ornament Melitene made

V · THEODOSIOPOLIS IN ARMENIA

Theodosius built a hill fort, Theodosiopolis, and Anastasius built a city around it. Its wall was low, with no outer wall or ditch, and a hill overlooked it; Justinian dug a deep ditch, cut away the hill, added an outer wall as at Daras, and stationed the general of Armenia there. At Tzumina he built a city named for himself.

Ταῦτα μὲν οὖν ἐν Ἀρμενίᾳ, ἥτις ἐστὶν ἐν δεξιᾷ 1
these(-things) indeed then in Armenia which is on right
Εὐφράτου ποταμοῦ εἰργάσατο· ὅσα δέ οἱ ἐν Ἀρμενίᾳ
of-Euphrates river he-did what-things and by-him in Armenia
τῇ μεγάλῃ πεποίηται, ἐρῶν ἔρχομαι.
the Great have-been-done to-tell I-come

2 ἡνίκα Θεοδόσιος ὁ Ῥωμαίων βασιλεὺς τὴν Ἀρσάκου
when Theodosius the of-Romans emperor the of-Arsaces
ἐπικράτειαν ἔσχεν, ᾗπέρ μοι ἔναγχος δεδιήγηται, φρούριον
domain held as by-me lately has-been-related fort
ἐπί τινος τῶν λόφων ᾠκοδομήσατο τοῖς προσιοῦσιν
on some of-the hills he-built for-the-ones approaching
εὐάλωτον, ὃ δὴ Θεοδοσιούπολιν ἐπωνόμασε.
easy-to-take which indeed Theodosiopolis he-named
3 τοῦτο Καβάδης τότε ὁ Περσῶν βασιλεύς, ἡνίκα δὴ
this Cabades then the of-Persians king when indeed
Ἀμίδης εὐθὺ ἴετο, παριὼν εἷλεν.
for-Amida straight he-was-going passing-by took
4 Ἀναστάσιος δὲ ὁ Ῥωμαίων αὐτοκράτωρ οὐ πολλῷ ὕστερον
Anastasius and the of-Romans emperor not much later
πόλιν ἐνταῦθα ἐδείματο τὸν λόφον ἐντὸς τοῦ περιβόλου
a-city there built the hill within the circuit-wall
πεποιημένος, ἐφ᾽ οὗ δὴ φρούριον τὸ Θεοδοσίου εἱστήκει.
having-made on which indeed fort the of-Theodosius stood
5 καὶ τὸ μὲν αὑτοῦ ὄνομα τῇ πόλει ἀφῆκεν, ἐξίτηλον
and the indeed his-own name to-the city he-left obliterated
δὲ τὸ Θεοδοσίου ποιεῖσθαι τοῦ πρότερον οἰκιστοῦ ἥκιστα
and the of-Theodosius to-make the former founder('s) least
ἴσχυσεν, ἐπεὶ νεοχμοῦσθαι μὲν τὰ καθωμιλημένα τοῖς
he-was-able since to-be-renewed indeed the-things familiar to-the
ἀνθρώποις ἐς ἀεὶ πέφυκεν, ὀνομάτων δὲ τῶν πρόσθεν
men for ever is-natural names and the earlier
μεθίεσθαι οὐκ εὐπετῶς ἔχει.
to-let-go not easily is
6 τοῦτο δὲ Θεοδοσιουπόλεως τεῖχος εὐρύνετο μὲν ἱκανώτατα,
this and of-Theodosiopolis wall was-broad indeed most-sufficiently
οὐ κατὰ λόγον δὲ τοῦ εὔρους ἀνεῖχε.
not in proportion and to-the breadth it-rose

τὸ γὰρ ὕψος αὐτῷ ἐς τριάκοντα ἐξικνεῖτο μάλιστα πόδας· 7
the for height for-it to thirty reached about feet
ταύτῃ τε πολεμίοις τειχομαχοῦσιν, ἄλλως τε καὶ Πέρσαις
thus both for-enemies assaulting-the-wall otherwise both and for-Persians
ἐγεγόνει λίαν εὐάλωτον.
it-had-become very easy-to-take
ἦν δὲ καὶ ἄλλως ἐπίμαχον. οὔτε γὰρ προτείχισμα οὔτε 8
it-was and also otherwise assailable neither for an-outer-wall nor
τάφρος αὐτῷ ἤμυνεν.
a-ditch for-it defended
ἀλλὰ καὶ χῶρός τις ὡς ἀγχοτάτω ἐπεμβαίνων τῇ 9
but also place certain as nearest encroaching-upon the
πόλει τῷ περιβόλῳ ἐπανειστήκει. διὸ δὴ βασιλεὺς
city above-the circuit-wall rose wherefore indeed emperor
Ἰουστινιανὸς ἀντεμηχανήσατο τάδε. πρῶτα μὲν τάφρον
Justinian contrived-in-answer these(-things) first indeed a-ditch
ὡς βαθυτάτην ἐν κύκλῳ ὀρύξας, χαράδραις αὐτὴν ὀρῶν
as deepest in a-circle having-dug to-ravines it of-mountains
ἀποτόμων ἐμφερεστάτην εἰργάσατο.
sheer most-similar he-made
ἔπειτα δὲ χῶρον τὸν ὑπερπεφυκότα κατατεμὼν ἔς τε 10
then and place the overtopping having-cut-down into both
ἀνεκβάτους κρημνοὺς καὶ σήραγγας ἀδιεξόδους μετεστήσατο
impassable cliffs and chasms without-outlet he-changed
τὴν αὐτοῦ φύσιν· ὅπως δὲ τὸ τεῖχος ὑψηλόν τε εἴη
the its nature that and the wall high both might-be
διαφερόντως καὶ ὅλως ἀνανταγώνιστον, εἴ τις προσίοι,
especially and wholly unassailable if anyone came
προσεπετεχνήσατο πάντα ὅσα ἐν πόλει Δάρας εἰργάσατο.
he-contrived-besides all(-things) as-many-as in city Daras he-did

11 τὰς γὰρ ἐπάλξεις ἀποσφίγξας ἐν στενῷ μάλιστα ὅσον
the for battlements having-bound in a-narrow(-space) most as-much-as
ἐνθένδε βάλλειν τοὺς τειχομαχοῦντας δυνατὰ εἶναι, ἔμβολόν
thence to-shoot the-ones assaulting-the-wall possible to-be a-gallery
τε αὐταῖς λίθων ἐπιβολαῖς ἐν περιδρόμῳ περιελίξας,
both to-them of-stones with-layings in a-circuit having-wound
ἐντέθεικεν ἐμπείρως ἐπάλξεις ἑτέρας, προτειχίσματί τε
he-has-put skillfully battlements other with-an-outer-wall both
αὐτὸ περιβαλὼν κύκλῳ ἐμφερέστατον τῷ ἐν πόλει
it having-surrounded in-a-circle most-similar to-the in city
Δάρας περιβόλῳ πεποίηται, πύργον ἕκαστον φρούριον
Daras circuit-wall he-has-made tower each a-fort
ἐχυρὸν τεκτηνάμενος.
strong having-built

12 οὗ δὴ τὰς δυνάμεις ἁπάσας καὶ τὸν ἐν Ἀρμενίαις
where indeed the forces all and the in the-Armenias
στρατηγὸν ἱδρύσασθαι καταστησάμενος κρείσσους τοὺς
general to-be-stationed having-appointed stronger the
Ἀρμενίους διεπράξατο τὸ λοιπὸν εἶναι ἢ δεδιέναι τὴν
Armenians he-caused for-the rest to-be than to-fear the
Περσῶν ἔφοδον.
of-Persians attack

13 Ἐς μέντοι τὰ Βιζανὰ οὐδὲν εἴργασται τῷ βασιλεῖ ἐξ
to however the Bizana nothing has-been-worked by-the emperor from
αἰτίας τοιᾶσδε. κεῖται μὲν ἐν τῷ ὁμαλῷ τὸ χωρίον,
cause such lies indeed in the level the place
πεδία τε ἀμφ᾽ αὐτὸ ἐπὶ μακρὸν ἱππήλατά ἐστιν, ὕδατος
plains both around it for a-long(-way) for-horse-riding are of-water
δὲ σηπεδόνες πολλαὶ ξυνισταμένου ἐνταῦθά εἰσι.
and rottings many collecting there are

καὶ ἀπ᾽ αὐτοῦ τοῖς μὲν πολεμίοις ἐπιμαχώτατον, τοῖς 14
and from this for-the indeed enemies most-assailable for-the
δὲ οἰκήτορσι λοιμωδέστατον αὐτὸ ξυμβαίνει εἶναι.
and inhabitants most-pestilential it it-happens to-be
ὧν δὴ ἕνεκα τὸ χωρίον τοῦτο ὑπεριδὼν ἑτέρωθι 15
of-which indeed for-the-sake the place this having-overlooked elsewhere
πόλιν ἐδείματο αὐτοῦ βασιλέως ἐπώνυμον, ἀξιολογωτάτην
a-city he-built of-the-very emperor named most-considerable
τε καὶ ἄμαχον ὅλως ἐν χωρίῳ Τζουμινᾷ καλουμένῳ,
both and unassailable wholly in place Tzumina called
ὅπερ σημείοις μὲν τρισὶ Βιζανῶν διέχει, ἐν κρημνώδει
which by-miles indeed three from-Bizana is-distant in a-precipitous(-place)
δὲ μάλιστα κείμενον εὐεξίας ἀέρων εὖ ἔχει.
and most lying in-healthiness of-airs well is

VI · THE TZANI

The Tzani, neighbors of the Armenians, lived free and lawless in their sky-high mountains, worshiping groves and birds and living by plunder, since their rough, snowbound land bears no crops. Under Justinian they were beaten by the general Tzitas, went over to him, became Christians, and served in the Roman army. To keep them from returning to their ways, he cut roads through their forests, built a church at Schamalinichon, and set forts and garrisons throughout the land, at Horonon, Charton, Barchon, Sisilisson, Burgousnoes, Schimalinichon, and Tzanzakon, so that the Tzani could mix with other men.

Τὰ μὲν οὖν ἐν Ἀρμενίοις Ἰουστινιανῷ βασιλεῖ 1
the-things indeed then among Armenians by-Justinian emperor
τῇδέ πη ἔχει. τὰ δὲ δὴ κατὰ τὰ Τζανῶν ἔθνη
thus somehow stand the-things and indeed among the of-Tzani peoples

ἀναγράψασθαί μοι ἐνταῦθα τοῦ λόγου οὔ τι ἀπὸ
to-record for-me here of-the account not at-all out-of
τρόπου ἔδοξεν εἶναι, ἐπεὶ καὶ πρόσοικοι Ἀρμενίοις εἰσίν.
place it-seemed to-be since also neighbors to-Armenians they-are

2 αὐτόνομοι μὲν Τζανοὶ ἐκ παλαιοῦ καὶ ἄναρχοι ᾤκουν,
independent indeed Tzani from old and without-rulers dwelt
θηριώδη τινὰ βιοτὴν ἔχοντες, θεοὺς μὲν τά τε ἄλση καὶ
beastlike some life having gods indeed the both groves and
ὄρνις καὶ ἄλλα ἄττα ζῷα ἡγούμενοί τε καὶ σέβοντες, ἐν
birds and other some creatures thinking both and revering on
ὄρεσι δὲ οὐρανομήκεσί τε καὶ ἀμφιλαφέσι τὸν ἅπαντα
mountains and sky-high both and widespreading the whole
αἰῶνα δίαιταν ἔχοντες, γῆν δὲ οὐδαμῆ γεωργοῦντες,
age (their)-living having land and in-no-way farming
ἀλλὰ λῃστεύοντές τε καὶ τοῖς φωρίοις ἀεὶ ἀποζῶντες.
but robbing both and on-the thefts always living

3 αὐτοί τε γὰρ ἀμελέτητοί εἰσιν ἐργάζεσθαι γῆν καὶ ἡ χώρα
they both for unpracticed are to-work land and the land
σφίσιν, ἔνθα δὴ μὴ ὄρη ἀποτομώτατα περιβέβληται,
for-them where indeed not mountains most-sheer surround(-it)
λοφώδης ἐστίν.
billy is

4 οὐ γήλοφοι δέ εἰσιν τὰ ἐπανεστηκότα τῆς γῆς
not earthy-hills and are the-things rising-up of-the land
οὐδὲ γεώδη οὐδὲ οἷα καρποὺς ἀφεῖναι, εἴ τις αὐτῶν
nor earthy nor such-as fruits to-yield if anyone them
ἐπιμελοῖτο, ἀλλὰ τραχέα τε ὑπερβαλλόντως καὶ σκληρὰ
should-tend but rough both exceedingly and hard
ὑπεράγαν καὶ καρπῶν ἁπάντων δεινῶς ἄφορα.
very and of-fruits all terribly barren

καὶ οὔτε ἀρόσαι τὴν γῆν οὔτε ἀμήσασθαι λήιον οὔτε λειμῶνι
and neither to-plow the land nor to-reap a-crop nor a-meadow
ἐντυχεῖν ἐνταῦθά πη δυνατὰ γίνεται, ἀλλὰ καὶ τοῖς
to-find there anywhere possible is but also with-the
δένδροις, οἷσπερ ἡ Τζανικὴ τέθηλεν, ἀκάρποις τε οὖσιν
trees with-which the Tzanica flourishes fruitless both being
αὖθις καὶ ὅλως ἀγόνοις, ἐπεὶ οὐδὲ ἀλλήλους ἐκδέχονται
again and wholly barren since not-even one-another succeed
καιροὶ ἐκ τοῦ ἐπιπλεῖστον, οὐδὲ νῦν μὲν ἡ γῆ τῷ τῆς
seasons for the most-part nor now indeed the land by-the of-the
ὥρας ὑγρῷ τε καὶ ψυχρῷ βάλλεται, νῦν δὲ δὴ αὐτὴν
season wet both and cold is-struck now and indeed it
ἡ τοῦ ἡλίου θέρμη ὀνίνησιν, ἀλλὰ χειμῶνί τε ἀπεράντῳ
the of-the sun heat benefits but with-winter both endless
ξυνῴκισται ἡ χώρα καὶ χιόσιν ἀϊδίοις κατάρρυτός ἐστι.
dwells the land and with-snows everlasting flooded is
διὰ ταῦτα μὲν αὐτόνομοι τὸ παλαιὸν οἱ Τζανοὶ ἐβίουν, 6
because-of these(-things) indeed independent the of-old the Tzani lived
ἐπὶ τούτου δὲ Ἰουστινιανοῦ βασιλεύοντος ἡττήθησάν
under this and Justinian reigning they-were-defeated
τε Ῥωμαίων τῇ μάχῃ, Τζίτα στρατηγοῦντος Ῥωμαίων,
both by-Romans in-the battle Tzitas commanding of-Romans
καὶ τὴν ἀγώνισιν ἀπογνόντες εὐθὺς προσεχώρησαν αὐτῷ
and the contest having-given-up at-once went-over to-him
ἅπαντες, πρὸ τῆς ἐπικινδύνου ἐλευθερίας τὴν ἄπονον
all before the dangerous freedom the toilless
δουλείαν ἑλόμενοι σφίσι.
slavery having-chosen for-themselves
καὶ τήν τε δόξαν ἐπὶ τὸ εὐσεβὲς αὐτίκα μετέθεντο 7
and the both belief to the pious at-once they-changed
ἅπαντες, Χριστιανοὶ γεγενημένοι, τήν τε δίαιταν ἐπὶ τὸ
all Christians having-become the both way-of-life to the

ἡμερώτερον μεθηρμόσαντο, λῃστείας μὲν ἀφέμενοι πάσης,
gentler changed robbery indeed having-let-go all
τοῖς τε Ῥωμαίοις συστρατεύοντες, ἐπὶ πολεμίους ἀεὶ
with-the both Romans campaigning-with against enemies always
τοὺς σφετέρους ἰοῦσι.
the their going

8 δείσας δὲ Ἰουστινιανὸς βασιλεὺς μή ποτε Τζανοὶ
having-feared and Justinian emperor lest ever Tzani
μεταπορευσάμενοι τὴν δίαιταν αὖθις τὰ σφέτερα ἤθη ἐπὶ
having-changed the way-of-life again the their habits to
τὸ ἀγριώτερον μεταστρέψωνται ἐπενόει τοιάδε.
the wilder should-turn devised such(-things)

9 Δύσοδος ἦν ἡ Τζανικὴ λίαν καὶ ἄφιππος ὅλως,
hard-to-traverse was the Tzanica very and impassable-for-horses wholly
κρημνοῖς τε πανταχόθεν καὶ χώροις περικεκλεισμένη ἐκ
by-cliffs both on-all-sides and by-places shut-in for
τοῦ ἐπιπλεῖστον ὑλώδεσιν, ἥπέρ μοι εἴρηται.
the most-part wooded as by-me has-been-said

10 καὶ ἀπ᾽ αὐτοῦ Τζανοῖς ἐπιμίγνυσθαι τοῖς πλησιοχώροις
and from this for-Tzani to-mingle with-the neighbors
ἀμήχανον ἦν, ἀλλὰ κατὰ μόνας ἐν σφίσιν αὐτοῖς
impossible it-was but by themselves among them selves
ἀπηγριωμένοι θηρίων τρόπον τὴν δίαιταν εἶχον.
made-savage of-beasts in-manner the life they-had

11 τὰ τοίνυν δένδρα ἐκτεμὼν ἅπαντα, οἷσπερ τὰς ὁδοὺς
the therefore trees having-cut-out all by-which the roads
ξυνέβαινε ξυμποδίζεσθαι, καὶ τὰς ἐκείνῃ δυσχωρίας
it-happened to-be-hindered and the there rough-places
μεθαρμοσάμενος, εὐπετεῖς τε αὐτὰς καὶ ἱππασίμους
having-changed easy both them and passable-for-horses
καταστησάμενος, ἐπιμίγνυσθαι αὐτοὺς κατὰ ταὐτὰ
having-made to-mingle them in the-same-way-as

τοῖς ἄλλοις ἀνθρώποις καὶ προσχωρεῖν τῇ ὁμιλίᾳ τῶν
the other men and to-come-over to-the intercourse of-the
πλησιοχώρων πεποίηκεν.
neighbors he-has-made
ἔπειτα δὲ αὐτοῖς ἐκκλησίαν ἐν χωρίῳ Σχαμαλινίχων 12
then and for-them a-church in place Schamalinichon
καλουμένῳ δειμάμενος, ἱερῶσθαί τε διεπράξατο καὶ
called having-built to-be-made-holy both he-caused and
μυστηρίων μεταλαμβάνειν λιταῖς τε τὸν θεὸν ἱλεοῦσθαι,
of-mysteries to-partake with-litanies both — God to-propitiate
καὶ τὰ ἄλλα ἐξοσιοῦσθαι, συνιέντες ὡς ἄνθρωποι εἶεν.
and the other(-things) to-perform-holily understanding that men they-were
καὶ φρούρια δὲ οἰκοδομησάμενος πανταχόσε τῆς χώρας 13
and forts too having-built everywhere of-the land
φρουρούς τε ἐνταῦθα Ῥωμαίων στρατιωτῶν ἱδρυσάμενος
guards both there of-Roman soldiers having-stationed
βεβαιότατα, Τζανοῖς ἐς τοὺς ἄλλους ἀνθρώπους τὰς
most-securely for-Tzani with the other men the
ἐπιμιξίας ἀκωλύτους πεποίηκεν.
dealings unhindered he-has-made
ὅπη ποτὲ δὲ Τζανικῆς τὰ φρούρια ταῦτα ἐδείματο, ἐρῶν 14
where ever and of-Tzanica the forts these he-built to-tell
ἔρχομαι.
I-come
Χώραν ἐνταῦθά τινα ἐς τρίοδον ἀποκεκριμένην 15
land there a-certain into a-meeting-of-three-ways set-apart
ξυμβαίνει εἶναι. Ῥωμαίων τε γὰρ καὶ Περσαρμενίων
it-happens to-be of-Romans both for and of-Persarmenians
τὰ ὅρια καὶ Τζανῶν αὐτῶν τῇδε ἀρξάμενα ἐνθένδε
the borders and of-Tzani themselves there having-begun thence
διασκεδάννυται.
are-spread

16 ἐνταῦθα φρούριον ἐχυρώτατον, οὐ πρότερον ὄν, ὄνομα
there a-fort strongest not before being by-name
Ὁρονῶν, ἐξείργασται, κεφάλαιον αὐτὸ τῆς εἰρήνης
Horonon has-been-worked head it of-the peace
πεποιημένος.
having-made

17 ἔνθεν γὰρ τὰ πρῶτα Ῥωμαίοις ἡ Τζανικὴ ἐσβατὴ
from-there for the first for-Romans the Tzanica enterable
γέγονεν· οὗ δὴ καὶ ἄρχοντα στρατιωτῶν κατεστήσατο,
became where indeed also a-commander of-soldiers he-appointed
ὃν δοῦκα καλοῦσιν.
whom dux they-call

18 ἐν χωρίῳ δὲ ὁδῷ ἡμέραιν δυεῖν Ὁρονῶν διέχοντι,
in a-place and by-a-journey of-days two from-Horonon distant
οὗ δὴ Τζανῶν τῶν Ὠκενιτῶν καλουμένων τὰ ὅριά
where indeed of-Tzani the Ocenitae called the borders
ἐστιν (ἐπεὶ ἐς ἔθνη πολλὰ διακέκριναι Τζανοί), ἐνταῦθά
are since into peoples many are-divided Tzani there
τι ὀχύρωμα πεποιημένον ἦν τοῖς πάλαι ἀνθρώποις,
a-certain stronghold made there-was by-the of-old men
ἐρείπιον ἤδη πολλῷ πρότερον τῷ ἀπημελῆσθαι
ruined already much earlier by-the being-neglected
γεγενημένον, Χαρτὸν ὄνομα.
having-become Charton by-name

19 ὅπερ ἀνανεωσάμενος Ἰουστινιανὸς βασιλεύς, ἐνοικεῖν τε
which having-renewed Justinian emperor to-dwell both
ἀνθρώπων ἐνταῦθα διεπράξατο μέγα τι χρῆμα καὶ τὰ
of-men there he-caused great some quantity and the-things
ἐς τὴν εὐκοσμίαν τῇ χώρᾳ φρουρεῖν.
for the good-order for-the land to-guard

τῷ δὲ ἐνθένδε ἰόντι πρὸς ἀνίσχοντα ἥλιον φάραγξ ἐστὶ 20
for-the-one and thence going toward rising sun a-gorge there-is
κρημνώδης, κατατείνουσα μέχρι ἐς τὰ πρὸς βορρᾶν
precipitous stretching up to the-parts toward north
ἄνεμον· οὗ δὴ φρούριον, Βαρχὼν ὄνομα, ἐδείματο νέον.
wind where indeed a-fort Barchon by-name he-built new
ἐπέκεινα δὲ κατὰ τοῦ ὄρους τὴν ὑπώρειαν ἐπαύλεις εἰσίν, 21
beyond and along the mountain the foothill folds are
ἵνα δὴ οἱ Τζανῶν τῶν Ὠκενιτῶν καλουμένων βόες
where indeed the of-Tzani the Ocenitae called oxen
αὐλίζονται, οὕσπερ ἐκτρέφουσιν αὐτοῦ οὐ τοῦ ἀροῦν
are-stabled which they-rear there not (for)-the to-plow
τὴν γῆν ἕνεκα, ἐπεὶ ἀργοί τε τὸ παράπαν οἱ Τζανοί
the land for-the-sake since idle both the whole the Tzani
εἰσι καὶ γεωργικῶν ἀλλότριοι πόνων, ᾗπέρ μοι εἴρηται,
are and of-farming strangers labors as by-me has-been-said
καὶ οὔτε ἀρόματά ἐστιν αὐτοῖς οὔτε ἄλλα τῆς γεωργίας
and neither plowlands are for-them nor other of-the farming
διαπονήματα, ἀλλὰ τοῦ γε γάλα ἐς ἀεὶ βδάλλειν καὶ
works but (for)-the indeed milk for ever to-draw and
σιτίζεσθαι τοῖς αὐτῶν κρέασι.
to-feed on-the their-own meats
μετὰ δὲ τοῦ ὄρους τὸν πρόποδα, οὗ Κενὰ τὸ χωρίον ἐν 22
after and the mountain the foot where Cena the place in
τῷ ὁμαλῷ ξυμβαίνει εἶναι, ἐνθένδε τοι ἰόντι ἐπὶ δύοντά
the level happens to-be thence indeed going toward setting
που τὸν ἥλιον, τὸ Σισιλισσῶν ὄνομα φρούριόν ἐστιν,
somewhere the sun the Sisilisson by-name a-fort is
ὅπερ ἐκ παλαιοῦ μὲν πεποιημένον, ἔρημον δὲ διὰ
which from old indeed made deserted and through
χρόνου μῆκος γεγενημένον ἀνανεωσάμενος Ἰουστινιανὸς
of-time length having-become having-renewed Justinian

βασιλεὺς διαρκὲς Ῥωμαίων στρατιωτῶν, ὥσπερ κἂν τοῖς
emperor a-sufficient of-Roman soldiers as also-in the
ἄλλοις ἅπασι, φυλακτήριον κατεστήσατο.
others all garrison he-established

23 ἐνθένδε δὲ ἰόντι ἐν ἀριστερᾷ πρὸς βορρᾶν ἄνεμον
thence and going on left toward north wind
χῶρός τίς ἐστιν, ὅνπερ καλοῦσιν οἱ ἐπιχώριοι Λογγίνου
place certain there-is which call the natives of-Longinus
φοσσᾶτον, ἐπεὶ Λογγῖνος ἐν τοῖς ἄνω χρόνοις Ῥωμαίων
fossatum since Longinus in the former times of-Romans
στρατηγός, Ἴσαυρος γένος, στρατεύσας ἐπὶ Τζανούς
a-general an-Isaurian by-race having-campaigned against Tzani
ποτὲ τῇδε πεποίηται τὸ στρατόπεδον.
once there has-made the camp

24 ἐνταῦθα φρούριον ὁ βασιλεὺς οὗτος ὄνομα Βουργουσνόης
there a-fort the emperor this by-name Burgousnoes
δεδημιούργηκεν, ἡμέρας ὁδῷ Σισιλισσῶν διέχον.
has-built of-a-day by-journey from-Sisilisson distant

25 ὅπερ Σισιλισσῶν φρούριόν ἐστι καὶ αὐτὸ ὑπ᾽ αὐτοῦ τοῦ
which of-Sisilisson fort is also itself by the-very the
βασιλέως, ὡς μικρὸν ἐρρήθη ἔμπροσθεν, ἐξειργασμένον
emperor as a-little was-said before worked
βεβαιότατα.
most-securely

26 ἐντεῦθεν ὅρια τῶν Τζανῶν τῶν Κοξυλίνων καλουμένων ἐστίν·
thence borders of-the Tzani the Coxylinae called are
οὗ δὴ φρούρια νῦν καὶ πεποίηται δύο, τό τε Σχιμαλινίχων
where indeed forts now also have-been-made two the both Schimalinichon
καλούμενον καὶ ὅπερ Τζανζάκων ἐπονομάζουσιν· ἔνθα δὴ
called and which Tzanzakon they-name where indeed
καὶ ἄλλον ἄρχοντα στρατιωτῶν κατεστήσατο.
also another commander of-soldiers he-appointed

On the Euxine, Justinian built a channel at Trapezus and walled Rhizaeum. In Lazica he built the fort of Losorion, walled the passes, and rebuilt Petra, and he rebuilt the walls of Bosporus and Cherson. The Goths of Dory, Roman allies, live unwalled in their plain, so he walled only the passes into their land.

Ταῦτα μὲν οὖν ἐν Τζανοῖς Ἰουστινιανῷ βασιλεῖ 1
these(-things) indeed then among Tzani by-Justinian emperor
εἴργασται. ἐν δὲ τῇ μετ᾽ αὐτοὺς χώρᾳ, ἣ παρὰ τὸν
have-been-worked in and the after them land which along the
Εὔξεινον οἰκεῖται πόντον, πόλις ἐστί που Τραπεζοῦς
Euxine is-inhabited sea a-city there-is somewhere Trapezus
ὄνομα· οὗ δὴ ἀπορίας ὑδάτων οὔσης, ὀχετὸν ἐτεκτήνατο
by-name where indeed a-lack of-waters being a-channel built
Ἰουστινιανὸς βασιλεύς, ὅνπερ Εὐγενίου καλοῦσι μάρτυρος,
Justinian emperor which of-Eugenius they-call martyr
ταύτῃ τε τὴν ἀπορίαν τοῖς τῇδε ᾠκημένοις διέλυσεν.
thus both the lack for-the-ones there dwelling he-ended
ἐνταῦθα δὲ κἂν τῇ Ἀμασείᾳ τὰ πλεῖστα τῶν ἱερῶν 2
there and and-in the Amaseia the most of-the churches
ἀνενεώσατο, χρόνῳ πεπονηκότα πολλῷ.
he-renewed by-time having-suffered much
μετὰ δὲ τοὺς Τραπεζουντίων ὅρους χωρίον ἐστὶ Ῥιζαῖον 3
after and the of-Trapezuntines bounds a-place there-is Rhizaeum
ὄνομα, ὃ δὴ καινουργήσας αὐτὸς ὀχύρωμα περιβέβληκε
by-name which indeed having-made-new himself a-stronghold has-surrounded(-it)
λόγου τε καὶ ἀκοῆς κρεῖσσον.
than-account both and report greater

4 πόλεων γὰρ τῶν Πέρσαις ὁμόρων οὐδεμιᾶς ἧσσον μεγέθους
than-cities for the with-Persians bordering none less of-size
πέρι καὶ ἀσφαλείας δεδημιούργηται.
about and of-security it-has-been-built

5 Καὶ φρούριον δὲ ᾠκοδομήσατο ἐπὶ Λαζικῆς Λοσόριον
and a-fort too he-built in Lazica Losorion
ὄνομα, καὶ τοὺς ἐν τῇ χώρᾳ στενωποὺς ἐτειχίσατο, οὕσπερ
by-name and the in the land narrow-passes he-walled which
Κλεισούρας καλεῖν νενομίκασιν, ὅπως δὴ ἀποκεκλεισμένοι
Clisurae to-call they-are-accustomed so-that indeed shut-out
τῆς ἐπὶ Λαζικὴν εἰσόδου οἱ πολέμιοι εἶεν.
from-the into Lazica entrance the enemies might-be

6 ἀλλὰ καὶ τὴν ἐν Λαζοῖς τῶν Χριστιανῶν ἐκκλησίαν,
but also the among Lazi of-the Christians church
these(-things) indeed by-Justinian emperor thus have-been-worked
16 Πηγαὶ δὲ θερμῶν φύσει ἐν Βιθυνοῖς ὑδάτων
springs and of-hot by-nature among Bithynians waters
ἀναβλυστάνουσιν ἐν χώρῳ, ὅνπερ ἐπονομάζουσι Πύθια.
gush-up in a-place which they-name Pythia
17 ταύτας ἔχουσι παραψυχὴν ἄλλοι τε πολλοὶ καὶ διαφερόντως
these have (as)-relief others both many and especially
Βυζάντιοι, ἄλλως τε ὅσοις νοσώδεσι συμβαίνει εἶναι.
Byzantines especially — all-who sickly it-happens to-be
18 ἔνθα δὴ πολυτέλειαν ἐπιδέδεικται βασιλεῖ πρέπουσαν·
where indeed a-magnificence he-has-displayed for-an-emperor befitting
βασίλειά τε γὰρ ᾠκοδομήσατο οὐ πρότερον ὄντα καὶ
a-palace both for he-built not before being and
λουτρῶνα ἐν δημοσίῳ τῶν ἐκεῖ φυομένων θερμῶν ὑδάτων
a-bath in public of-the there growing hot waters
πεποίηται.
he-has-made
19 πηγάς τε ποτίμων ὑδάτων ὡς ἑκάστῳ ἀποβλυζούσας ἐς
springs both of-drinkable waters as each gushing-out into
τόνδε τὸν χῶρον ὀχεταγωγίᾳ διακομίσας, τὸν πρότερον
this the place by-an-aqueduct having-carried the formerly
ἐνταῦθα ἐπιχωριάζοντα περιεῖλεν αὐχμόν.
there prevailing he-removed drought

ἀλλὰ καὶ τοῦ ἀρχαγγέλου τὸ τέμενος καὶ τὸ τῶν 20
but also of-the archangel the precinct and the of-the
νοσούντων ἀναπαυστήριον, μείζω τε καὶ κατὰ πολὺ
sick resting-place greater both and by much
ἐπιφανέστερα κατεστήσατο.
more-notable he-made

IV · GALATIA AND CAPPADOCIA

Justinian bridged the Siberis near Juliopolis with a strong bridge and a breakwater, built a church as a winter shelter, and built a counter-wall five hundred feet long to keep another river from the wall of Juliopolis. Caesarea in Cappadocia had a wall so long that it enclosed hills, fields, and gardens and could not be guarded; he cut it down to the city itself and garrisoned it. He replaced the ruined fort of Mocesus with a great wall on a steep hill, with churches, guest-houses, and baths, and it became the metropolis of the province.

Ἔστι δὲ ποταμὸς ἐν Γαλάταις, ὅνπερ καλοῦσιν οἱ 1
there-is and a-river among Galatians which call the
ἐπιχώριοι Σίβεριν, τῶν μὲν καλουμένων Συκέων ἄγχιστα,
natives Siberis the indeed called Syceon nearest
πόλεως δὲ Ἰουλιοπόλεως ἀπὸ σημείων μάλιστα δέκα,
from-city and Juliopolis from miles about ten
ἐς τὰ πρὸς ἀνίσχοντα ἥλιον.
toward the-parts toward rising sun
ὃς δὴ πολλάκις ἐξαπιναίως ἀρθεὶς ἐπὶ μέγα τῶν 2
which indeed often suddenly raised to great(-height) of-the
ἐκείνῃ ὁδῷ ἰόντων πολλοὺς ἔφθειρεν.
there by-the-road going many destroyed

3 οἷσπερ ὁ βασιλεὺς ἀπαγγελλομένοις συνταραχθεὶς
at-which the emperor being-reported troubled
διακωλυτὴς τοῦ κακοῦ τὸ λοιπὸν γέγονε, τὸν μὲν
a-hinderer of-the evil for-the rest became the indeed
ποταμὸν γεφυρώσας ἔργῳ ἰσχυρῷ καὶ οἵῳ πλημμύροντι
river having-bridged with-a-work strong and such-as with-a-flooding
ποταμῷ μάχεσθαι· ἕτερον δὲ τοῖχον ἐν προβόλου σχήματι
river to-fight another and wall in of-a-bulwark shape
τῆς γεφύρας ἐς τὰ πρὸς ἕω πεποιημένος, ὃν δὴ
of-the bridge toward the-parts toward dawn having-made which indeed
πρόμαχον καλοῦσιν οἱ ταῦτα σοφοί.
a-champion call the these(-things) wise(-in)

4 καὶ νεὼν δὲ αὐτοῖς ᾠκοδομήσατο ἐς τὰ πρὸς
and a-church too for-them he-built toward the-parts toward
δύοντα ἥλιον τοῖς παριοῦσι σωτήριον χειμῶνος ὥρᾳ
setting sun for-the-ones passing a-saving(-place) of-winter in-season
ἐσόμενον.
going-to-be

5 ταύτης δὲ Ἰουλιοπόλεως περίβολον ἠνώχλει τε καὶ
of-this and of-Juliopolis circuit-wall troubled both and
κατέσειε ποταμός, ἀμφὶ τὰ πρὸς ἑσπέραν παραρρέων.
shook a-river about the-parts toward west flowing-past

6 ἀλλὰ καὶ αὐτὸν διεκώλυσεν ὁ βασιλεὺς οὗτος, ἀντιτείχισμα
but also it prevented the emperor this a-counter-wall
τῷ περιβόλῳ ἐπὶ πόδας οὐχ ἧσσον ἢ πεντακοσίους
to-the circuit-wall for feet not less than five-hundred
καταστησάμενος. ταύτῃ τε τὸ τῆς πόλεως ἔρυμα οὐκ
having-set thus both the of-the city fortification not
ἐπικλυζόμενον διεσώσατο.
washed-over he-preserved

Ἐν δὲ Καππαδόκαις ἐποίει τάδε. Καισάρεια μὲν πόλις 7
among and Cappadocians he-did these(-things) Caesarea indeed a-city
ἐνταῦθα μεγίστη τε καὶ πολυάνθρωπος ἐκ παλαιοῦ τυγχάνει
there greatest both and populous from old happens
οὖσα. τεῖχος δὲ αὐτὴν περιέβαλλε τῷ ὑπερβάλλοντι τῆς
being a-wall and it surrounded by-the excess of-the
ἀμετρίας ἐπιμαχώτατόν τε ὂν καὶ ἀφύλακτον ὅλως.
immoderation most-assailable both being and unguarded wholly
χώρας τε γὰρ οὔ τι ἀναγκαίας τῇ πόλει περιεβάλλετο 8
of-land both for not at-all necessary to-the city it-enclosed
μέγα τι χρῆμα, καὶ τῇ ἐς ἄγαν περιουσίᾳ εὐέφοδον
great some quantity and by-the to excess superfluity easy-of-approach
ἦν τοῖς ἐπιβουλεύουσι.
it-was to-the-ones plotting
λόφοι γὰρ ἐνταῦθα ἐπανεστήκασιν ὑψηλοί, οὐκ ἄγχιστά 9
hills for there rise high not near
πη ἀλλήλων, ἀλλὰ κατὰ πολὺ ἄποθεν· οὕσπερ ὁ
anywhere to-one-another but by much off which the
τῆς πόλεως οἰκιστὴς ἐντὸς τοῦ περιβόλου καταλαβεῖν ἐν
of-the city founder within the circuit-wall to-take-in in
σπουδῇ ἔχων, ὡς μὴ ἐπιτείχισμα κατ᾽ αὐτῆς εἶεν,
zeal having so-that not a-fortress-against against it they-might-be
τῷ τῆς ἀσφαλείας ὀνόματι τὰ σφαλερώτατα ἐξειργάσατο.
by-the of-the security name the most-unsafe(-things) he-worked
πεδία τε γὰρ πολλὰ καὶ κήπους ἐτειχίσατο, καὶ σκοπέλους 10
plains both for many and gardens he-walled and crags
τε καὶ θρεμμάτων νομάς.
both and of-flocks pastures

11 ἔνθα δὴ οὐδὲ χρόνῳ ὕστερον οἰκοδομήσασθαί τι οἱ
where indeed not-even in-time later to-build anything the
τῇδε ἄνθρωποι ἔγνωσαν, ἀλλ᾽ ἐφ᾽ οὗπερ ἦν σχήματος
there men decided but in which it-was form
ἔμεινεν.
it-remained

12 εἰ δέ που καὶ οἰκία τετύχηκεν εἶναι, ταῦτα δὲ
if and anywhere also a-house happened to-be these(-things) and
ἀγείτονα κατὰ μόνας ὄντα διαγεγόνασιν ἐς τόδε τοῦ
without-neighbors by themselves being have-continued to this the
χρόνου.
time

13 καὶ οὔτε τὰ φυλακτήρια κατὰ λόγον τοῦ περιβόλου ἐς τὴν
and neither the garrisons in proportion-to the circuit-wall to the
αὐτοῦ ἐξικνεῖσθαι φυλακὴν εἶχεν, οὔτε αὐτοῦ ἐπιμελεῖσθαι
its to-reach guard were-able nor it to-care-for
τοσοῦδε ὄντος ἐν δυνάμει ἐγίνετο τοῖς τῇδε ἀνθρώποις.
so-great being in power was for-the there men
ἀτείχιστοί τε δοκοῦντες εἶναι περίφοβοι διηνεκὲς ἦσαν.
unwalled both seeming to-be very-fearful continually they-were

14 ἀλλὰ βασιλεὺς Ἰουστινιανὸς τὰ μὲν οὐκ ἀναγκαῖα
but emperor Justinian the-parts indeed not necessary
τοῦ περιβόλου περιελών, τὴν δὲ πόλιν ὡς ἀληθῶς
of-the circuit-wall having-removed the and city as truly
ἐρύματι ἐς τὸ ἀσφαλὲς περιστείλας, ὀχύρωμα μὲν
with-a-fortification into the security having-enclosed a-stronghold indeed
κατεστήσατο ἀμαχώτατον εἴ τις προσίοι, διαρκεῖ δὲ
he-made most-unassailable if anyone came with-a-sufficient and
αὐτὸ φυλακτηρίῳ ἐπέρρωσε. Καισαρεῦσι μὲν οὖν τοῖς
it garrison he-strengthened for-the-Caesareans indeed then the
ἐν Καππαδόκαις οὕτω τὴν ἀσφάλειαν διεσώσατο.
among Cappadocians thus the safety he-preserved

Ἦν δέ τι φρούριον ἐν Καππαδόκαις Μωκησὸς 15
there-was and a-certain fort among Cappadocians Mocesus
ὄνομα, ἐν μὲν τῷ ὁμαλεῖ κείμενον, σαθρὸν δὲ οὕτω
by-name in indeed the level lying rotten and so
γεγενημένον ὥστε δὴ αὐτοῦ τὰ μὲν καταπεπτώκει,
having-become that indeed of-it the-parts indeed had-fallen
τὰ δὲ ἔμελλεν.
the-parts and were-about-to
ὅπερ Ἰουστινιανὸς βασιλεὺς καθελών, τεῖχος 16
which Justinian emperor having-pulled-down a-wall
ᾠκοδομήσατο κομιδῇ μέγα ἐς τὰ πρὸς ἑσπέραν τοῦ
built quite great toward the-parts toward west of-the
πάλαι φρουρίου ἐν χωρίῳ ἀνάντει τε καὶ λίαν ὀρθίῳ
old fort in a-place steep both and very upright
καὶ ἀμηχάνῳ προσελθεῖν, εἴ τις προσίοι.
and impossible to-approach if anyone came
ἔνθα δὴ καὶ ἱερὰ τεμένη πολλὰ καὶ ξενῶνας καὶ 17
where indeed also holy precincts many and guest-houses and
λουτρῶνας ἐν δημοσίῳ ἐδείματο καὶ ὅσα ἄλλα
baths in public he-built and what-things other
ἐνδείκνυται τὴν πόλιν εὐδαίμονα.
display the city prosperous
ἐξ οὗ δὴ καὶ εἰς μητροπόλεως ἀξίωμα ἦλθεν· οὕτω 18
from which indeed also to of-a-metropolis dignity it-came thus
γὰρ πόλιν τὴν πρώτην τοῦ ἔθνους καλοῦσι Ῥωμαῖοι.
for city the first of-the province call Romans
τὰ μὲν οὖν ἐν Καππαδόκαις τοιαῦτα ἐγεγόνει.
the-things indeed then among Cappadocians such had-been

Near Antioch, on the road to Cilicia, Justinian cut through the mountains to make a carriage road where floods had made the narrow old track dangerous. He repaired the crumbling bridge over the Pyramus at Mopsuestia, and at Adana diverted the Sarus to rebuild the piers of its great bridge, then returned the river to its bed. When a spring thaw and rains drove the Cydnus through Tarsus for a night and a day, he dug a second channel before the city to divide the river and built wider bridges.

1 Ἐκ πόλεως δὲ Ἀντιοχείας, ἣ νῦν Θεούπολις ἐπικέκληται,
from city and Antioch which now Theoupolis is-called
ἐς Κιλικίαν ἰόντι παρ᾽ αὐτὴν μάλιστα τὴν ὁδὸν προάστειόν
to Cilicia going along the-very most the road a-suburb
ἐστι, Πλατανὼν ὄνομα· ταύτης δὲ τῆς πόλεως οὐ
there-is Platanon by-name of-this and the city not
πολλῷ ἄποθεν τρίβος τε ἦν ἐκ παλαιοῦ σφιγγομένη
much off a-path both there-was from old squeezed
ἐκ τῶν παρατεταμένων ὀρῶν ἐν στενῷ μάλιστα,
by the stretching-alongside mountains in a-narrow(-space) most
τῶν ὄμβρων δὲ αὐτὴν ἐς χρόνου μῆκος ἐπικλυσάντων
the rains and it for of-time length having-flooded
ἐξίτηλος ἐκ τοῦ ἐπιπλεῖστον γεγενημένη μετὰ κινδύνων
obliterated for the most-part having-become with dangers
τὰς διεξόδους παρείχετο ποιεῖσθαι τοῖς τῇδε ἰοῦσιν.
the passages it-provided to-make for-the-ones there going
2 ἅπερ ἐπεὶ βασιλεὺς Ἰουστινιανὸς ἀκοῇ ἔλαβεν, ἐν βουλῇ
which when emperor Justinian by-hearing received in counsel
τε καὶ προνοίᾳ πάσῃ πεποιημένος, ἄκεσιν εὐθὺς τοῦ
both and forethought all having-made a-remedy at-once of-the
κακοῦ εὕρετο.
evil he-found

χρήματα γὰρ προέμενος ἀριθμοῦ κρείττονα, ὄρη τε 3
moneys for having-spent than-number greater mountains both
τὰ ἐκείνῃ ἀνέχοντα ἐπὶ μακρότατον ἐκτεμὼν ἅπαντα
the there rising for longest(-way) having-cut-away all
καὶ νενικηκὼς τὰ ἀμήχανα, ὁδὸν ἁμαξήλατον ἐκ τοῦ
and having-conquered the impossible(-things) a-road wagon-driveable from the
παραλόγου καὶ παραδόξου κατὰ πρόσθεν ἀπόκρημνα ἔν
unexpected and incredible across formerly precipitous(-places) in
τε τῷ ὑπτίῳ καὶ τῷ ἀνειμένῳ διεσκευάσατο, διαφανῶς
both the level and the open be-arranged manifestly
ἐνδειξάμενος ὡς γνώμῃ προμηθεῖ καὶ χρημάτων
having-shown that with-judgment provident and of-money
ὑπεροράσει οὐδὲν ἀνθρώπῳ ἄπορον γένοιτο. τοῦτο μὲν
by-disregard nothing for-man impossible would-be this indeed
οὖν ταύτῃ ἐξείργασται.
then thus has-been-worked

Πόλις δέ πού ἐστιν ἐν Κίλιξιν ἡ Μοψουεστία, τοῦ 4
a-city and somewhere there-is among Cilicians the Mopsuestia of-the
μάντεως, ὥς φασιν, ἐκείνου τοῦ παλαιοῦ ἔργον. ταύτην
seer as they-say that the old a-work this
ποταμὸς παραρρεῖ Πύραμος, τῇ μὲν πόλει γινόμενος
a-river flows-past Pyramus for-the indeed city being
ἐγκαλλώπισμα, γεφύρᾳ δὲ μόνῃ διαβατὸς ὤν.
an-ornament by-bridge and alone crossable being
χρόνου δὲ πολλοῦ ἐπιρρεύσαντος πεπονηκέναι τῆς γεφύρας 5
of-time and much having-flowed-by to-have-suffered of-the bridge
τὰ πλεῖστα ξυνέβη. ἐῴκει τε πεσουμένοις αὐτίκα δὴ
the most it-happened it-seemed both going-to-fall at-once indeed
μάλα, καὶ τοῖς διαβαίνουσι διὰ ταῦτα ὁ θάνατος
very and for-the-ones crossing because-of these(-things) the death
ἐν ὀφθαλμοῖς ἦν.
before eyes was

6 πρᾶγμά τε εἰς σωτηρίαν ἐπινενοημένον τοῖς πάλαι
a-thing both for safety devised by-the of-old
ἀνθρώποις, τῇ τῶν προεστηκότων ὀλιγωρίᾳ ἐγίνετο
men by-the of-the-ones in-charge neglect became
κινδύνου τε πολλοῦ καὶ φόβου αἰτία.
of-danger both much and of-fear cause

7 ὁ δὲ καθ' ἡμᾶς βασιλεὺς τὰ διερρυηκότα ἐπανορθώσας
the and in our-time emperor the-parts fallen-to-pieces having-set-right
σπουδῇ ἅπαντα τῇ τε γεφύρᾳ καὶ τοῖς παριοῦσι τὴν
with-zeal all to-the both bridge and to-the-ones passing the
ἀσφάλειαν ἀνεσώσατο, τήν τε πόλιν ἀπέδειξεν αὖθις τὴν
safety restored the both city he-showed again the
ἐκ τοῦ ποταμοῦ ἀκινδύνως ἀναδουμένην εὐπρέπειαν.
from the river without-danger putting-on comeliness

8 Ἔστι δέ τις μετ' αὐτὴν Ἄδανα πόλις, ἧς δὴ
there-is and a-certain after it Adana city of-which indeed
ἐς τὰ πρὸς ἀνίσχοντα ἥλιον ποταμὸς φέρεται Σάρος
to the-parts toward rising sun a-river is-carried Sarus
ὄνομα, ἐκ τῶν ἐν Ἀρμενίοις ὀρῶν κατιών.
by-name from the among Armenians mountains coming-down

9 ναυσίπορος δὲ ὁ Σάρος ἐστὶ καὶ ἀνδράσι πεζοῖς οὐδαμῇ
navigable and the Sarus is and to-men on-foot in-no-way
ἐσβατός. γέφυρα οὖν ἐκ παλαιοῦ τῇδε ὑπερφυής τε
enterable a-bridge then from old there prodigious both
ἀποτετόρνευται καὶ λόγου ἀξία.
has-been-rounded-off and of-account worthy

10 γεγένηται δὲ τρόπῳ τοιῷδε. λίθων μὲν εὐμεγεθῶν
it-has-been-made and in-manner such of-stones indeed very-large
οἰκοδομίαι πολλαχῇ τοῦ ποταμοῦ ἐκ τῆς γῆς
buildings in-many-places of-the river from the ground
ἐπανεστήκασιν ἐς μέγα τι πάχος διήκουσαι, καὶ τῷ
have-risen to great some thickness reaching and with-the

ποταμῷ κατὰ μὲν τὸ εὖρος ξυνεξικνούμεναι, τὸ δέ γε
river in indeed the breadth reaching-equally the and at-least
ὕψος πολλῷ ὑπερβάλλουσαι τῷ ὑπεραίροντι.
height much exceeding by-the overtopping
ὕπερθέν τε δυοῖν κατὰ μέσον ἀψῖδες ἐν τῷ μετεώρῳ 11
above both of-two in middle arches in the air
ἐπηρμέναι ἀνέχουσιν ὕψους ἐς μέγα τι χρῆμα. ταύτης
raised rise of-height to great some quantity of-this
δὲ τῆς τῶν λίθων ξυνθήκης, ἣ κατὰ τὸ ὕδωρ οὖσα
and the of-the stones joining which in the water being
ἐτύγχανεν, ἅτε ῥοθίῳ μαχομένης πολλῷ, ἐπὶ χρόνου
happened inasmuch-as with-surf fighting much for of-time
μῆκος ἀπέραντον ὅσον διεφθάρθαι τὰ πλεῖστα ξυνέβη.
length unbounded so-far to-have-been-destroyed the most it-happened
οὐκ εἰς μακράν τε ἡ γέφυρα πᾶσα τῷ ποταμῷ 12
not after long both the bridge whole into-the river
ἐμπεσεῖσθαι ἐπίδοξος ἦν. ἐγίνετό τε ἀεὶ ἐν εὐχῇ τῶν
to-fall expected was there-was both always in prayer of-the-ones
διαβαινόντων ἑκάστῳ ἐν τῇ κατ᾽ αὐτὸν διαβάσει τὴν τοῦ
crossing for-each in the by him crossing the of-the
χρόνου στιγμὴν διαμεῖναι μόνον ἐν τῷ βεβαίῳ τὴν γέφυραν.
time point to-remain only in the security the bridge
ἀλλὰ βασιλεὺς Ἰουστινιανὸς ἑτέραν τινὰ τῷ ποταμῷ 13
but emperor Justinian another some for-the river
πορείαν ὀρύξας, ἐκεῖσε μὲν αὐτὸν ἐπὶ καιροῦ μεταπορεύεσθαι
course having-dug there indeed it for time to-change-its-course
διωθήσατο, ὕδατος δὲ χωρὶς τὴν οἰκοδομίαν λαβών, ἧς
he-thrust of-water and apart the building having-taken which
ἐπεμνήσθην ἀρτίως, καὶ αὐτῆς τὰ πεπονθότα περιελὼν
I-mentioned just-now and its the-parts having-suffered having-removed
ἀνῳκοδομήσατο οὐδεμιᾷ μελλήσει, τόν τε ποταμὸν αὖθις
he-rebuilt(-it) with-no delay the both river again

ἐς τὴν πρόσθεν ὁδὸν ἐπανήγαγεν, ἣν κοίτην καλοῦσι.
into the former way he-brought-back which a-bed they-call
ταῦτα μὲν οὖν τῇδε κεχώρηκε.
these(-things) indeed then thus have-gone

14 Κύδνος δὲ ποταμὸς κατὰ πόλιν μέσην Τάρσον φέρεται.
Cydnus and river through city middle(-of) Tarsus is-carried
καὶ χρόνον μὲν τὸν ἄλλον οὐδὲν ἄχαρι διαπεπραγμένος
and (for)-time indeed the other nothing unpleasant having-done
φαίνεται πώποτε, ἅπαξ δὲ αὐτῷ ξυνηνέχθη ποτὲ τὰ
appears ever once and to-it it-happened once the
ἀνήκεστα διεργάσασθαι ἐξ αἰτίας τοιᾶσδε.
incurable(-things) to-work from cause such

15 τοῦ μὲν καιροῦ ἀμφὶ τροπὰς ἐαρινὰς ἦν ἡ ὥρα· νότος
of-the indeed occasion about equinox spring was the season south
δὲ ἄνεμος ἐξαπιναίως ἐπιπνεύσας πολὺς τὰς χιόνας
and wind suddenly having-blown-on much the snows
διέλυσε πάσας, αἷς δὴ χειμῶνος ὥρᾳ ἐπιπεσούσαις τὸ
melted all which indeed of-winter in-season having-fallen the
ὄρος ὁ Ταῦρος ἐκαλύπτετο σχεδόν τι ὅλον.
mountain the Taurus was-covered almost — whole

16 ῥύακες οὖν ὑδάτων πανταχόθεν ξυνέρρεον τῶν ἐκείνῃ
streams then of-waters from-all-sides flowed-together of-the there
σκοπέλων, αἵ τε χαράδραι χειμάρρους ἀφίεσαν πᾶσαι,
crags the both ravines torrents let-go all
καὶ κρήναις πολλαῖς αἵ τε ὑπώρειαι καὶ οἱ πρόποδες
and with-springs many the both foothills and the feet
ὀρῶν τῶν Ταυρείων κατάρρυτοι ἦσαν.
of-mountains the Taurian flooded were

17 τούτοις οὖν ὁ Κύδνος τοῖς ὕδασι κυματίας γεγενημένος,
with-these then the Cydnus the waters surging having-become
ἐπεὶ ἐς αὐτὸν ἐν γειτόνων ὄντα ἐπεσέβαλλον, ἅμα
since into it in neighborhood being they-fell at-the-same-time

δέ οἱ καὶ ὄμβρων ἐπιγενομένων πολλῶν, τὰ μὲν
and to-it also rains having-come-upon many the-parts indeed
Ταρσέων προάστεια πάντα, ὅσα πρὸς μεσημβρίαν
of-the-Tarsians suburbs all as-many-as toward south
τετραμμένα ἐτύγχανε, κατακλύσας εὐθὺς ἐξίτηλα τὸ
turned happened having-flooded at-once obliterated the
παράπαν ἐποίει· ἐπὶ δὲ τὴν πόλιν μορμύρων ᾔει καὶ
whole it-made to and the city roaring it-went and
τὰς γεφύρας βραχείας οὔσας περιελὼν τάς τε ἀγορὰς
the bridges short being having-swept-away the both marketplaces
συνεῖχεν ἁπάσας τάς τε ἀγυιὰς ὑπερέβλυζε καὶ τοῖς
it-held all the both streets it-overflowed and to-the
οἴκοις καὶ ὑπερῴοις ἐπιπολάζων ἐπὶ μέγα ἐχώρει.
houses and upper-rooms rising-to-the-surface to great(-height) it-went
νύκτα τε καὶ ἡμέραν ἡ πόλις ἐν κινδύνῳ διαγέγονε καὶ 18
night both and day the city in danger spent and
σάλῳ τοιούτῳ, καὶ μόλις ἐν ὑστάτῳ ὁ ποταμὸς οὗτος κατὰ
in-tossing such and scarcely at last the river this little
βραχὺ ἀπολωφήσας ἐν τοῖς εἰωθόσι γέγονεν αὖθις.
by-little having-abated in the accustomed(-bounds) was again
ἅπερ ἐπεὶ βασιλεὺς Ἰουστινιανὸς ἤκουσεν, ἐπενόει τοιάδε. 19
which when emperor Justinian heard he-devised such(-things)
πρῶτα μὲν ἑτέραν πρὸ τῆς πόλεως διεσκευάσατο τῷ
first indeed another before the city he-arranged for-the
ποταμῷ κοίτην, ὅπως ἐνταῦθα διασχιζόμενος ἑκατέρωθί
river bed that there being-split on-each-side
τε μερίζων τὸν ῥοῦν κατὰ ἥμισυ γεγονὼς μάλιστα ἐπὶ
both dividing the stream by half having-become most at
Τάρσον ἴοι.
Tarsus it-might-go

20 ἔπειτα δὲ τὰς γεφύρας παρὰ πολὺ εὐρυτέρας πεποιημένος
then and the bridges by much wider having-made
κρείσσους ἀπειργάσατο εἶναι ἢ πλημμύροντι βιασθῆναι
stronger he-made(-them) to-be than by-flooding to-be-forced
τῷ Κύδνῳ. ταύτῃ τε διεπράξατο φόβου καὶ κινδύνου
the Cydnus thus both he-caused of-fear and of-danger
ἐκτὸς ἐς πάντα τὸν χρόνον οἰκεῖσθαι τὴν πόλιν.
outside for all the time to-be-inhabited the city

VI · THE NEW CHURCH AT JERUSALEM

At Jerusalem Justinian built the New Church of the God-bearer on a hill too small for it; the builders raised the quarter that overhung the hill on the south and east on vaulted substructures from the bottom of the slope. The stones were so large that wagons were built for them and drawn by forty oxen, and the roads were widened through the mountains. Cedars from a forest found after a long search roofed it, and God showed in the nearby mountains a stone for its fiery-colored columns. Before it stand stoas, a narthex, a court, a gateway, and two guest-houses, for travelers and for the sick poor, and the emperor endowed it.

1 Τὰ μὲν οὖν ἐν Κίλιξιν Ἰουστινιανῷ βασιλεῖ ταύτῃ
the-things indeed then among Cilicians by-Justinian emperor thus
πη ἔσχεν. ἐν δὲ Ἱεροσολύμοις ἱερὸν τῇ θεοτόκῳ
somehow were in and Jerusalem a-church to-the God-bearer
ἀνέθηκεν, ᾧπερ ἄλλο εἰκασθῆναι οὐδὲν οἷόν τέ ἐστι.
he-dedicated to-which other to-be-likened nothing possible — is
2 νέαν ἐκκλησίαν καλοῦσι τὸ ἱερὸν οἱ ἐπιχώριοι· ὅπερ δὴ
new church call the church the natives which indeed
ὁποῖόν ποτέ ἐστιν, ἐγὼ δηλώσω, τοσοῦτον ὑπειπών,
of-what-sort ever it-is I will-show so-much having-said-first
ὡς ἡ πόλις ἥδε λοφώδης μέν ἐστιν ἐκ τοῦ ἐπιπλεῖστον,
that the city this hilly indeed is for the most-part

οὐ γεώδεις δὲ οἱ λόφοι εἰσίν, ἀλλ᾽ ἔν τε τραχεῖ καὶ
not earthy and the hills are but in both rough and
ἀποκρήμνῳ ἐπανεστήκασι, τὰς ἀμφόδους ἐν κλίμακος
precipitous(-ground) rise the streets in of-a-ladder
τρόπῳ ἀπὸ τοῦ ὀρθίου ἐς τὸ πρανὲς κατατείνοντες.
manner from the steep to the slope stretching
τὰ μὲν οὖν ἄλλα τῆς πόλεως οἰκοδομήματα ἅπαντα 3
the-things indeed then other of-the city buildings all
ἐφ᾽ ἑνὸς χωρίου συμβαίνει εἶναι, ἢ ἐπὶ λόφου πεποιημένα,
on one place it-happens to-be either on a-hill made
ἢ ἐν τῷ χθαμαλῷ κατὰ τὸ ἀναπεπταμένον τῆς γῆς,
or in the low(-ground) along the open(-part) of-the ground
τοῦτο δὲ μόνον τὸ ἱερὸν οὐ ταύτῃ πη ἔχει.
this and alone the church not thus somehow is
ἐπέστελλε γὰρ αὐτὸ Ἰουστινιανὸς βασιλεὺς ἐν τῷ 4
enjoined for it Justinian emperor on the
προὔχοντι γενέσθαι τῶν λόφων, δηλώσας ὁποῖον τά
most-prominent to-be of-the hills having-shown of-what-sort the-things
τε ἄλλα δεήσει καὶ τὸ εὖρος αὐτῷ καὶ μῆκος εἶναι.
both other it-will-need and the breadth for-it and length to-be
οὐκ ἀπέχρησέ τε κατὰ τὴν βασιλέως ἐπίταξιν πρὸς τοῦ 5
not sufficed both according-to the of-emperor command for of-the
ἔργου τὴν χρείαν ὁ λόφος, ἀλλὰ τοῦ ἱεροῦ τὸ τεταρτημόριον
work the need the hill but of-the church the fourth-part
ἀπελέλειπτο πρός τε ἄνεμον νότον καὶ ἀνίσχοντά που
had-been-left-over toward both wind south and rising somewhere
τὸν ἥλιον, ἵνα δὴ ὀργιάζειν τοῖς ἱερεῦσι θέμις.
the sun where indeed to-perform-the-rites for-the priests (is)-lawful
διὸ δὴ ἐπενόουν τάδε, οἷς τὸ ἔργον τοῦτο 6
wherefore indeed they-devised these(-things) on-whom the work this
ἐπέκειτο. ἀπορριψάμενοι τὰ θεμέλια εἰς γῆς τῆς ὑπτίας
lay having-thrown-down the foundations to of-ground the level

τὰ ἔσχατα, οἰκοδόμημα πεποίηνται συνεπανεστηκὸς τῷ
the extremities a-building they-have-made rising-together-with the
σκοπέλῳ.
crag

7 ἐπειδή τε ἄνω κατὰ τὴν ἀκρωνυχίαν ἐγένοντο, τῶν τοίχων
when both above at the summit they-came of-the walls
καθύπερθε θόλους ἐνθέμενοι συνάπτουσι τὴν οἰκοδομίαν
above vaults having-set-on they-join the building
τῷ ἄλλῳ τοῦ τεμένους ἐδάφει.
to-the other of-the precinct floor

8 ταύτῃ τε ὁ νεὼς πὴ μὲν ἐπὶ πέτρας ἰσχυρᾶς
thus both the church in-one-place indeed on rock strong
ἵδρυται, πὴ δὲ ἠώρηται, τῆς τοῦ βασιλέως δυνάμεως
is-founded in-another and is-suspended of-the of-the emperor power
μέγεθος ἄλλο ἐπιτεχνησαμένης τῷ λόφῳ.
a-size other having-contrived for-the hill

9 ταύτης δὲ δὴ τῆς οἰκοδομίας οἱ λίθοι οὐ τοιοῖδέ εἰσι
of-this and indeed the building the stones not such are
μέγεθος, ὁποίους ἴσμεν.
in-size as-what we-know

10 πρὸς γὰρ τοῦ χωρίου τὴν φύσιν οἱ ἐπιδημιουργοὶ τοῦ
against for of-the place the nature the builders of-the
ἔργου τοῦδε διαμαχόμενοι ὕψος τε ἀντιτεταγμένον τῷ
work this fighting-it-out height both arrayed-against to-the
σκοπέλῳ διαπονούμενοι, τῶν ξυνειθισμένων ὠλιγωρηκότες
crag working-out of-the accustomed(-things) having-neglected
ἁπάντων ἐπὶ τὰ παράδοξα καὶ ὅλως ἀγνῶτα τῶν
all to the incredible(-things) and wholly unknown of-the
ἐπιτηδευμάτων ἐχώρουν.
practices they-went

πέτρας οὖν ὑπερμεγέθεις ἐκ τῶν ὀρῶν ὑποτεμνόμενοι, ἅπερ 11
rocks then very-great from the mountains cutting-out which
οὐρανομήκη ἐν τοῖς πρὸ τῆς πόλεως χωρίοις ἀνέχει, ξύσαντές
sky-high in the before the city places rise having-dressed
τε αὐτὰς ἐπισταμένως, ἐνταῦθα ἦγον τρόπῳ τοιῷδε.
both them skillfully there they-brought in-manner such
ἁμάξας μὲν ταῖς πέτραις ἐτεκταίνοντο μεγέθει ἴσας, ἕνα 12
wagons indeed to-the rocks they-built in-size equal one
δὲ λίθον ἐνετίθεντο ἁμάξῃ ἑκάστῃ, βόες τε ἀριστίνδην
and stone they-put on-wagon each oxen both by-merit
πρὸς βασιλέως ἐξειλεγμένοι κατὰ τεσσαράκοντα σὺν τῇ
by emperor chosen by forty with the
ἁμάξῃ τὸν λίθον ἑφεῖλκον.
wagon the stone drew
ἀλλ᾽ ἐπεὶ τὰς ἐς τὴν πόλιν φερούσας ὁδοὺς ταύτας δὴ 13
but since the into the city leading roads these indeed
φέρειν τὰς ἁμάξας ἀμήχανα ἦν, ἐκτέμνοντες ἐπιπλεῖστον
to-carry the wagons impossible it-was cutting-into for-the-most-part
τὰ ὄρη ἐσιτητὰ ταῖς ἐπιγενομέναις ἁμάξαις ἐποίουν,
the mountains enterable for-the coming wagons they-made
οὕτως τε περιμήκη ἀπειργάσαντο τὸν νεών, ἥπερ
thus both very-long they-made the church as
βουλομένῳ τῷ βασιλεῖ ἦν.
wishing the emperor it-was
εὐρός τε αὐτῷ κατὰ λόγον πεποιημένοι, τέγος ἐπιθεῖναι 14
breadth both to-it in proportion having-made a-roof to-put-on
τῷ ἱερῷ ὡς ἥκιστα εἶχον.
to-the church as least they-were-able
δρυμούς τε οὖν καὶ δάση πάντα περιιόντες, καὶ εἴ πού 15
thickets both then and woods all going-round and if anywhere
τι χωρίον ἠκούετο οὐρανομήκεσι κατάφυτον δένδροις,
any place was-heard-of with-sky-high planted trees

ὕλην τινὰ εὗρον ἀμφιλαφῆ, κέδρους φέρουσαν ἐς ὕψος
forest some they-found widespreading cedars bearing to height
ἐξικνουμένας ἀπέραντον ὅσον, αἷς δὴ τὴν ὀροφὴν
reaching unbounded so-far with-which indeed the roof
τῷ νεῷ ἔθεντο, ὕψος αὐτῷ κατὰ μέτρον πεποιημένοι,
for-the church they-set height to-it in measure having-made
ἐς ὅσον τε εὐρύνεται καὶ ἐς τὸ μῆκος ἐξάγεται.
as much both it-is-broadened and to the length it-is-extended

16 ταῦτα μὲν οὖν δυνάμει τε ἀνθρωπείᾳ καὶ τέχνῃ
these(-things) indeed then by-power both human and by-art
βασιλεὺς Ἰουστινιανὸς ἐξειργάσατο. ἐπέδωκε δὲ καὶ ἡ
emperor Justinian worked gave-besides and also the
τῆς εὐσεβείας ἐλπὶς ἀμειβομένη αὐτὸν τῇ τιμῇ, καὶ
of-the piety hope rewarding him with-the honor and
ξυνεπιλαμβάνουσα τὸ σπούδασμα τοῦτο.
taking-part-in the endeavor this

17 τῷ μὲν γὰρ ἱερῷ πανταχόσε κιόνων ἔδει, τό τε
for-the indeed for church everywhere of-columns there-was-need the both
εἶδος οὐκ ἀποδεόντων τοῦ ἀμφὶ τὸ τέμενος κάλλους
appearance not falling-short of-the about the precinct beauty
καὶ τοιούτων τὸ μέγεθος, οἷοι δὴ ὄντες ἀντέχειν ἐς
and such the size which indeed being to-hold-out against
τὸ ἄχθος τῶν ἐγκειμένων σφίσιν ἔμελλον.
the weight of-the-things lying-on them were-going

18 ἡ δὲ χώρα ἐν τῇ μεσογείᾳ κειμένη τῆς θαλάσσης πολλῷ
the and land in the interior lying from-the sea much
ἄποθεν, ὄρεσί τε πανταχόθεν ἀποπεφραγμένη ἀποτόμοις
off by-mountains both on-all-sides fenced-off sheer
τισίν, ἥπέρ μοι εἴρηται, ἄπορον τοῖς τεκταινομένοις
some as by-me has-been-said impossible for-the-ones building
τὸ ἔδαφος ἐποίει κίονας ἑτέρωθεν εἰσκομίζεσθαι.
the ground made columns from-elsewhere to-bring-in

ἀλλὰ βασιλέως δυσφορουμένου τῇ τοῦ ἔργου ἀμηχανίᾳ, 19
but emperor being-aggrieved at-the of-the work helplessness
λίθου φύσιν ὁ θεὸς ἐπιτηδείως ἐς τοῦτο ἔχουσαν ἐν τοῖς
of-stone a-nature — God suitably to this being in the
ἄγχιστα ὄρεσιν ἔδειξεν, ἢ οὖσάν τε καὶ κρυπτομένην
nearest mountains showed either being both and hidden
τὰ πρότερα, ἢ νῦν γενομένην.
the formerly or now having-come-to-be
ἐπ᾽ ἀμφότερα δὲ πιστὸς ὁ λόγος τὴν αἰτίαν εἰς τὸν θεὸν 20
on both and credible the account the cause to — God
ἀναφέρουσιν.
they-refer
ἡμεῖς μὲν γὰρ ἀνθρωπείᾳ δυνάμει πάντα σταθμώμενοι 21
we indeed for by-human power all measuring
πολλὰ ἐς τὸ ἀδύνατον ἀποκεκρίσθαι οἰόμεθα, τῷ δὲ θεῷ
many(-things) to the impossible to-have-been-set-apart think — and for-God
τῶν πάντων οὐδὲν οὔτ᾽ ἂν ἄπορον οὔτ᾽ ἀμήχανον γένοιτο.
of-the all nothing neither — impossible nor impracticable would-be
κιόνων τοίνυν ἐνθένδε μέγα τι χρῆμα ὑπερμεγεθῶν τε καὶ 22
of-columns therefore thence great some quantity very-great both and
ἀπομιμουμένων τῷ χρώματι πυρός τινα φλόγα, πανταχόθεν
imitating in-the color of-fire some flame on-all-sides
ὑποστηρίζουσι τὸν νεών, οἱ μὲν ἔνερθεν, οἱ δὲ
support the church the-ones indeed below the-ones and
ὕπερθεν, οἱ δὲ ἀμφὶ τὰς στοὰς αἳ περιβάλλουσι τὸ
above the-ones and about the stoas which surround the
ἱερὸν ὅλον, πλὴν τῆς πρὸς ἕω τετραμμένης πλευρᾶς·
church whole except the toward dawn turned side
ὧνπερ δύο ἑστᾶσι πρὸ τῆς τοῦ νεὼ θύρας ὑπερφυεῖς ἄγαν
of-which two stand before the of-the church door prodigious very
καὶ τῶν ἐν γῇ τῇ πάσῃ κιόνων ἴσως οὐδενὸς δεύτεροι.
and of-the in land the whole columns perhaps (to)-none second

23 στοά τις ἐκδέχεται ἐντεῦθεν ἑτέρα ἐπὶ τοῦ νάρθηκος
stoa certain succeeds thence other at the narthex
ὠνομασμένη, οἶμαι, τῷ μὴ εὐρύνεσθαι.
named I-think by-the not being-broad

24 αὐλὴ μετὰ ταύτην κίοσιν ὁμοίοις ἐν τετραπλεύρῳ
a-court after this with-columns like in a-square
ἀνεχομένη· θύραι μέταυλοι ἱεροπρεπεῖς οὕτως, ὥστε
held-up doors between-the-courts holy-looking so that
μηνύουσι τοῖς ἔξω ἰοῦσιν ὁποίῳ ποτὲ θεάματι ἐντυχεῖν
they-indicate to-the-ones outside going of-what-sort ever a-sight to-meet
μέλλουσι. προπύλαια δὲ τὸ ἐνθένδε θαυμάσια οἷα, καί
they-are-about propylaea and the thence marvelous such-as also
τις ἐπὶ κιόνων δυεῖν ἐπαιρομένη ἀψὶς ἐς ἄφατον ὕψος.
some on columns two raised arch to unspeakable height

25 προϊόντι δὲ πρόσω ἡμίκυκλα δύο, ἀλλήλοις
for-(one)-going-forward and further half-circles two to-one-another
ἀντιπρόσωπα ἑκατέρωθεν τῆς ἐπὶ τὸ ἱερὸν ὁδοῦ
facing on-each-side of-the to the church road
ἑστᾶσι· ξενῶνες δὲ τῆς ἑτέρας ἐφ᾽ ἑκάτερα δύο,
stand guest-houses and of-the other on each(-side) two
Ἰουστινιανοῦ βασιλέως ἔργον· ἄτερος μὲν ξένοις
of-Justinian emperor a-work the-one indeed for-strangers
ἐνδημοῦσι καταλυτήριον, ὁ δὲ δὴ ἕτερος ἀναπαυστήριον
sojourning a-lodging the and indeed other a-resting-place
νοσοῦσι πτωχοῖς.
for-sick poor

26 τοῦτον δὲ τὸν τῆς θεοτόκου νεὼν Ἰουστινιανὸς βασιλεὺς
this and the of-the God-bearer church Justinian emperor
καὶ προσόδῳ ἐτίμησε χρημάτων μεγάλων. τὰ μὲν
also with-a-revenue honored of-moneys great the-things indeed

οὖν ἐν Ἱεροσολύμοις Ἰουστινιανῷ βασιλεῖ πεπραγμένα
then in Jerusalem by-Justinian emperor done
ταύτῃ πη ἔσχεν.
thus somehow were

VII · MOUNT GARIZIN

The Samaritans revered the summit of Garizin above Neapolis, where Christ foretold that true worshipers would worship. Under Zeno they attacked the Christians of Neapolis at Pentecost and maimed their bishop Terebinthius, and Zeno drove them off the mountain, built a church of the God-bearer there, and fenced it with a low wall and a small garrison. Under Anastasius some Samaritans climbed the cliff and killed the guards, and the governor Procopius of Edessa punished them. Justinian built a strong wall around the old one and renewed five churches the Samaritans had burned.

Ἔστι δέ τις πόλις ἐπὶ Παλαιστίνης, Νεάπολις ὄνομα· 1
there-is and a-certain city in Palestine Neapolis by-name
ἐφ' ἧς δὴ ὄρος ὑψηλὸν ἀνέχει, Γαριζὶν ὄνομα. τοῦτο 2
over which indeed a-mountain high rises Garizin by-name this
δὲ ὄρος κατ' ἀρχὰς μὲν οἱ Σαμαρεῖται εἶχον· ὡς
and mountain at beginning indeed the Samaritans held as
εὐξόμενοί τε ἀνέβαινον ἐς τὴν τοῦ ὄρους ὑπερβολήν,
going-to-pray both they-went-up to the of-the mountain summit
οὐδένα ἀνιέντες καιρόν· οὐχ ὅτι νεών τινα ἐνταῦθα
no letting-pass season not that church any there
ᾠκοδομήσαντο πώποτε, ἀλλὰ τὴν ἀκρώρειαν αὐτὴν
they-built ever but the summit itself
σεβόμενοι ἐτεθήπεσαν πάντων μάλιστα.
revering they-marveled-at(-it) of-all most

3 ἡνίκα δὲ Ἰησοῦς ὁ τοῦ θεοῦ παῖς, ἐν σώματι ὤν,
when and Jesus the — of-God child in body being
τοῖς τῇδε ἀνθρώποις ὡμίλει, γέγονεν αὐτῷ πρὸς γυναῖκα
with-the there men conversed there-was to-him with woman
τῶν τινα ἐπιχωρίων διάλογος· ταύτῃ τε ἐπὶ τῷ ὄρει
of-the some natives a-dialogue to-her both about the mountain
πυνθανομένῃ ὑπεῖπεν ὡς χρόνῳ ὕστερον οὐχ οἱ
inquiring he-said-beforehand that in-time later not the
Σαμαρεῖται προσκυνήσουσιν ἐν τούτῳ τῷ ὄρει, ἀλλ᾽
Samaritans will-worship on this the mountain but
ἐνταῦθα αὐτὸν οἱ ἀληθινοὶ προσκυνηταὶ προσκυνήσουσι,
there him the true worshipers will-worship
τοὺς Χριστιανοὺς παραδηλώσας· ἐγένετό τε προϊόντος
the Christians indicating became both going-forward
τοῦ χρόνου ἔργον ἡ πρόρρησις.
the time a-deed the prophecy
4 οὐ γὰρ οἷόν τε ἦν μὴ οὐχὶ ἀψευδεῖν τὸν ὄντα θεόν.
not for possible — was not not to-be-truthful the being God
ἐγένετο δὲ τρόπῳ τοιῷδε.
it-happened and in-manner such
5 ἐπὶ Ζήνωνος βασιλεύοντος ἀθρόοι ἐξαπιναίως οἱ Σαμαρεῖται
under Zeno reigning in-a-crowd suddenly the Samaritans
γενόμενοι ἐπεισπηδῶσιν ἐν Νεαπόλει τοῖς Χριστιανοῖς, ἐν
having-become leap-upon in Neapolis the Christians in
τῇ ἐκκλησίᾳ τὴν πεντηκοστὴν καλουμένην ἑορτὴν ἄγουσι,
the church the Pentecost called feast keeping
καὶ αὐτῶν τε πολλοὺς διαχρῶνται, καὶ ὅσπερ ἦν αὐτοῖς
and of-them both many they-kill and who was their
ἐπίσκοπος τότε, Τερεβίνθιος ὄνομα, καταλαβόντες ἐπὶ τῆς
bishop then Terebinthius by-name having-caught at the
ἱερᾶς ἑστῶτα τραπέζης, καὶ ἱερουργοῦντα τὰ ἄρρητα
holy standing table and celebrating the unspeakable(-mysteries)

ξίφεσι παίοντες, ἄλλως τε συγκόπτουσι καὶ τοὺς τῶν
with-swords striking otherwise both they-hack and the of-the
χειρῶν ἀφαιροῦνται δακτύλους, ἔς τε τὰ μυστήρια ὕβρισαν,
hands they-take-off fingers to both the mysteries they-did-outrage
ὡς δρᾶσαι μὲν Σαμαρειτῶν προσήκει, σιωπᾶν δὲ ἡμῖν.
such-as to-do indeed for-Samaritans befits to-keep-silent and for-us
ὁ δὲ ἱερεὺς οὗτος αὐτίκα ἐν Βυζαντίῳ γενόμενος, τῷ τότε 6
the and priest this at-once in Byzantium having-come to-the then
βασιλεῖ ἐς ὄψιν ἥκων, ἐπέδειξέ τε τὸ πάθος καὶ τὰ
emperor into sight coming showed both the suffering and the-things
ξυνενεχθέντα σημάνας καὶ τοῦ Χριστοῦ τῆς προρρήσεως
having-happened having-indicated and — of-Christ the prophecy
ὑπομνήσας, τιμωρὸν αὐτὸν ἐφ᾽ ἅπασιν ἐδεῖτο γενέσθαι.
having-reminded(-him) an-avenger him for all he-asked to-become
Ζήνων δὲ βασιλεὺς τοῖς ξυμπεπτωκόσι ξυνταραχθείς, 7
Zeno and emperor at-the-things having-happened troubled
κόλασίν τε ἀποχρώντως ἐς τοὺς τὰ δεινὰ
punishment both sufficiently upon the-ones the terrible(-things)
δεδρακότας πεποίηται οὐδεμιᾷ ὀκνήσει· ἔκ τε ὄρους τοῦ
having-done made with-no hesitation from both mountain the
Γαριζὶν τοὺς Σαμαρείτας ἐξελάσας, εὐθὺς Χριστιανοῖς
Garizin the Samaritans having-driven-out at-once to-Christians
τε αὐτὸ παραδίδωσιν, ἐκκλησίαν τε ἄνω δειμάμενος τῇ
both it hands-over a-church both above having-built to-the
θεοτόκῳ ἀνέθηκε, τειχισάμενος τὸ ἱερὸν τοῦτο δῆθεν
God-bearer he-dedicated(-it) having-walled the church this in-pretense
τῷ λόγῳ, τὸ δὲ ἀληθὲς ἀποτριγχώσας.
in-the word in-the but true having-coped(-it)-with-a-parapet

8 καὶ φρουρὰν στρατιωτῶν κατεστήσατο, κάτω μὲν ἐν τῇ
and a-garrison of-soldiers he-established below indeed in the
πόλει πολλῶν, ἐν δὲ τῷ τειχίσματι καὶ τῇ ἐκκλησίᾳ οὐ
city many in and the wall and the church not
πλέον ἢ δέκα.
more than ten

9 οἷς δὴ Σαμαρεῖται ἀχθόμενοι ἤσχαλλον μὲν ἐς τὰ
at-which indeed Samaritans vexed were-distressed indeed to the
μάλιστα καὶ δυσφορούμενοι ἀπηξίουν τὰ σφίσι παρόντα,
most and being-aggrieved despised the to-them present(-things)
δέει δὲ τῷ ἐκ βασιλέως δυσωπούμενοι σιωπῇ εἴχοντο.
by-fear and the from emperor abashed in-silence they-were-held

10 προϊόντος δὲ χρόνου, Ἀναστασίου τὴν αὐτοκράτορα ἀρχὴν
going-forward and time Anastasius the imperial power
ἔχοντος, τοιόνδε τι ξυνηνέχθη γενέσθαι.
holding such something it-happened to-be

11 τινὲς τῶν Σαμαρειτῶν, γυναικὸς ὑποθήκῃ ἀναπεισθέντες,
some of-the Samaritans of-a-woman by-suggestion persuaded
ἀναβαίνουσι μὲν παρὰ δόξαν κατὰ τὸ τοῦ ὄρους
go-up indeed contrary-to expectation by the of-the mountain
κρημνώδες, ἐπεὶ τῆς ἀνόδου, ἢ ἐκ τῆς πόλεως ἐνταῦθα
precipitous(-part) since the ascent which from the city there
ἄγει, ἐς τὸ ἀκριβὲς φυλασσομένης, ἐνθένδε αὐτοῖς
leads to the exact(-point) being-guarded thence for-them
ἀποπειρᾶσθαι τῆς ἀναβάσεως ἀδύνατα ἦν.
to-attempt the ascent impossible was

12 ἐν δὲ τῇ ἐκκλησίᾳ ἐξαπιναίως γενόμενοι κτείνουσι μὲν
in and the church suddenly having-come they-kill indeed
τοὺς ἐνταῦθα φρουρούς, μετακαλοῦσι δὲ τοὺς ἐν τῇ πόλει
the there guards they-call and the-ones in the city
Σαμαρείτας φωνῇ ἐξαισίᾳ.
Samaritans with-a-voice extraordinary

οἱ δὲ τοὺς στρατιώτας δειμαίνοντες συνεπιτίθεσθαι 13
they and the soldiers fearing to-join-in-attacking
τοῖς ἐγκεχειρηκόσιν οὐδαμῇ ἤθελον.
with-the-ones having-attempted in-no-way were-willing
οὐ πολλῷ τε ὕστερον ὁ τὴν χώραν ἐπιτροπεύων 14
not much both later the-one the land governing
(Προκόπιος δὲ ἦν ἐξ Ἐδέσσης πόλεως, ἀνὴρ λόγιος)
Procopius and he-was from Edessa city a-man learned
τοὺς τὰ δεινὰ δεδρακότας συλλαβὼν ἔκτεινε.
the-ones the terrible(-things) having-done having-arrested killed
τοῦ μέντοι ὀχυρώματος οὐδ' ὡς τις λόγος ἢ πρόνοια 15
of-the however stronghold not-even so any account or forethought
παρὰ τοῦ βασιλέως τηνικάδε γεγένηται.
by the emperor at-that-time was
ἀλλὰ νῦν Ἰουστινιανὸς βασιλεύς, καίπερ τοὺς Σαμαρείτας 16
but now Justinian emperor although the Samaritans
ἐκ τοῦ ἐπιπλεῖστον ἐπὶ τὸ εὐσεβέστερον μεταθέμενος
for the most-part to the more-pious having-changed
καὶ καταστησάμενος Χριστιανοὺς εἶναι, τὸ μὲν παλαιὸν
and having-made Christians to-be the indeed old
τῆς ἐν τῷ Γαριζὶν ἐκκλησίας τείχισμα ἐφ' οὗπερ ἦν
of-the on the Garizin church wall in which it-was
σχήματος εἴασεν ἀποτετριγχωμένον, ᾗπέρ μοι εἴρηται,
form he-left coped-with-a-parapet as by-me has-been-said
ἑτέρῳ δὲ αὐτὸ ἔκτοσθεν τείχει περιβαλὼν ἄμαχον
with-another and it outside wall having-surrounded unassailable
διεπράξατο παντάπασιν εἶναι.
he-caused altogether to-be

17 ἐνταῦθα δὲ καὶ ἱερὰ πέντε Χριστιανῶν ἀνενεώσατο πρὸς
there and also churches five of-Christians he-renewed by
τῶν Σαμαρειτῶν καταφλεχθέντα. ταῦτα μὲν οὖν τῇδε
the Samaritans burned-down these(-things) indeed then thus
εἴργασται.
have-been-worked

VIII · MOUNT SINAI

In Arabia, now Third Palestine, the desert stretches to Mount Sinai near the Red Sea. Procopius leaves the Red Sea peoples to his History of the Wars. For the monks of Sinai, who live in a studied practice of death, Justinian built a church to the God-bearer well below the summit, since no one can pass the night on the summit for the sounds heard there, and at the foot of the mountain a strong fort and garrison against the Saracens.

1 Ἐν δὲ τῇ πάλαι μὲν Ἀραβίᾳ, νῦν δὲ Παλαιστίνῃ τρίτῃ
in and the of-old indeed Arabia now and Palestine Third
καλουμένῃ, χώρα μὲν ἔρημος ἐπὶ μακρὸν κατατείνει,
called a-land indeed desert for a-long(-way) stretches
καρπῶν τε καὶ ὑδάτων καὶ πάντων ἀγαθῶν ἄφορος. καὶ
of-fruits both and of-waters and of-all goods barren and
ὄρος ἀπότομόν τι καὶ δεινῶς ἄγριον ἀποκρέμαται ἄγχιστά
mountain sheer some and terribly wild hangs-over near
πη τῆς ἐρυθρᾶς καλουμένης θαλάσσης, Σινὰ ὄνομα.
somewhere the Red called sea Sina by-name
2 οὐδὲν δέ μοι ἀμφὶ τοῖς ἐκείνῃ χωρίοις ἀναγράψασθαι
nothing and to-me about the there places to-record
ἀναγκαῖον ἐνταῦθα τοῦ λόγου, ἐπεὶ ἅπαντά μοι τά
necessary here of-the account since all by-me the-things
τε κατὰ τὴν ἐρυθρὰν θάλασσαν καὶ τὸν Ἀραβικὸν
both along the Red sea and the Arabian

καλούμενον κόλπον, Αἰθίοπάς τε τοὺς Αὐξωμίτας καὶ τὰ
called gulf Ethiopians both the Auxomitae and the
τῶν Ὁμηριτῶν Σαρακηνῶν γένη ἀκριβολογουμένῳ ἐν τοῖς
of-the Homeritae Saracens races telling-exactly in the
ὑπὲρ τῶν πολέμων δεδήλωται λόγοις· ἵνα δὴ καὶ τοῦτό
about the wars have-been-shown accounts where indeed also this
μοι δεδιήγηται, ὅντινα τρόπον Ἰουστινιανὸς βασιλεὺς τὸν
by-me has-been-related in-what manner Justinian emperor the
φοινικῶνα προσεποίησε τῇ Ῥωμαίων ἀρχῇ.
palm-grove added to-the of-Romans empire
ταῦτα μὲν οὖν τούτου δὴ ἕνεκα λέγειν ἀφίημι, ὡς 3
these(-things) indeed then of-this indeed for-the-sake to-say I-omit so-that
μὴ ἀπειροκαλίας ἀπενέγκοιμι δόξαν.
not of-tastelessness I-might-carry-off a-reputation
ἐν τούτῳ δὲ τῷ Σινᾷ ὄρει μοναχοὶ ᾤκηνται, οἷς 4
on this and the Sina mountain monks dwell for-whom
ἐστιν ὁ βίος ἠκριβωμένη τις μελέτη θανάτου, ἐρημίας
is the life exact some practice of-death solitude
τῆς σφίσι φιλτάτης ἀδεέστερον ἀπολαύουσι.
the to-them dearest more-fearlessly they-enjoy
τούτοις δὴ τοῖς μοναχοῖς Ἰουστινιανὸς βασιλεὺς (ἐπεὶ 5
for-these indeed the monks Justinian emperor since
οὐκ εἶχον οὐδὲν ὅτου ἐφείντο, ἀλλὰ κρείσσους τῶν
not they-had anything which they-desired but superior-to the
ἀνθρωπείων ἁπάντων εἰσίν, οὐδέ τι κεκτῆσθαι οὐδὲ
human(-things) all they-are nor anything to-possess nor
θεραπεύειν τὰ σώματα, οὐ μέντοι οὐδὲ ἄλλου ὁτουοῦν
to-tend the bodies not however nor of-other anything-whatever
ὀνίνασθαι ἐν σπουδῇ ἔχουσιν) ἐκκλησίαν ᾠκοδομήσατο,
to-profit in zeal they-have a-church built

ἥνπερ τῇ θεοτόκῳ ἀνέθηκεν, ὅπως δὴ αὐτοῖς ἐνταῦθα
which to-the God-bearer he-dedicated that indeed for-them there
ἐξῇ εὐχομένοις τε καὶ ἱερωμένοις διαβιῶναι.
it-might-be-possible praying both and performing-holy-rites to-live-out-their-lives

6 ταύτην δὲ τὴν ἐκκλησίαν οὐ κατὰ τοῦ ὄρους ἐδείματο
this and the church not on the mountain he-built
τὴν ὑπερβολήν, ἀλλὰ παρὰ πολὺ ἔνερθεν.
the summit but by much below

7 ἀνθρώπῳ γὰρ ἐν τῇ ἀκρωρείᾳ διανυκτερεύειν ἀμήχανά
for-a-man for on the ridge to-spend-the-night impossible
ἐστιν, ἐπεὶ κτύποι τε διηνεκεῖς καὶ ἕτερα ἄττα θειότερα
it-is since crashings both continual and other some more-divine
νύκτωρ ἀκούονται, δύναμίν τε καὶ γνώμην τὴν ἀνθρωπείαν
by-night are-heard power both and judgment the human
ἐκπλήσσοντα.
astounding

8 ἐνταῦθά ποτε τὸν Μωσέα φασὶ πρὸς τοῦ θεοῦ τοὺς
there once — Moses they-say from — God the
νόμους παραλαβόντα ἐξενεγκεῖν.
laws having-received to-have-brought(-them)-out

9 ἐς δὲ τοῦ ὄρους τὸν πρόποδα καὶ φρούριον ἐχυρώτατον ὁ
at and of-the mountain the foot also a-fort strongest the
βασιλεὺς οὗτος ᾠκοδομήσατο, φυλακτήριόν τε στρατιωτῶν
emperor this built a-garrison both of-soldiers
ἀξιολογώτατον κατεστήσατο, ὡς μὴ ἐνθένδε Σαρακηνοὶ
most-considerable he-established so-that not thence Saracens
βάρβαροι ἔχοιεν, ἅτε τῆς χώρας ἐρήμου οὔσης,
barbarians might-be-able inasmuch-as the land deserted being
ᾗπέρ μοι εἴρηται, ἐσβάλλειν ὡς λαθραιότατα ἐς τὰ ἐπὶ
as by-me has-been-said to-invade as most-secretly into the in
Παλαιστίνης χωρία.
Palestine places

ταῦτα μὲν οὖν τῇδε πεποίηται. ὅσα δὲ κἂν τοῖς 10
these(-things) indeed then thus have-been-done what-things and also-in the
μοναστηρίοις πεποίηται τοῖς τῇδέ τε καὶ κατὰ τὴν ἄλλην
monasteries have-been-done the there both and in the other
ἑώαν οὖσιν, αὐτίκα δή μοι ὡς ἐν κεφαλαίῳ γεγράψεται.
east being at-once indeed by-me as in summary will-be-written

IX · THE MONASTERIES AND WELLS OF THE EAST

A list of Justinian's works in the eastern provinces: the monasteries he renewed at Jerusalem, Jericho, the Jordan, and Bethlehem, the wells and cisterns he built for monasteries, the wall of Tiberias, poorhouses, and the churches and houses of saints in Bostra, Porphyreon, Ptolemais, Damascus, Apamea, Theoupolis, Laodicea, Mesopotamia, Isauria, Cyprus, and Pamphylia.

Μοναστήρια μὲν οὖν ἐν Ἱεροσολύμοις ἀνενεώσατο τάδε. 1
monasteries indeed then in Jerusalem he-renewed these
τὸ τοῦ ἁγίου Θαλελαίου.
the-one of-the saint Thalelaeus
τὸ τοῦ ἁγίου Γρηγορίου. 2
the-one of-the saint Gregory
τὸ τοῦ ἁγίου Παντελεήμονος ἐν τῇ ἐρήμῳ τοῦ 3
the-one of-the saint Panteleemon in the desert of-the
Ἰορδάνου.
Jordan
ξενῶνα ἐν Ἰεριχῷ. 4
a-guest-house in Jericho
ἐκκλησίαν τῆς θεοτόκου ἐν Ἰεριχῷ. 5
a-church of-the God-bearer in Jericho
τὸ τῶν Ἰβήρων ἐν Ἱεροσολύμοις. 6
the-one of-the Iberians in Jerusalem

7 τὸ τῶν Λαζῶν ἐν τῇ ἐρήμῳ Ἱεροσολύμων.
the-one of-the Lazi in the desert of-Jerusalem

8 τὸ τῆς ἁγίας Μαρίας ἐν τῷ ὄρει τῶν
the-one of-the saint Mary on the mount of-the
ἐλαιῶν.
olives

9 τὸ τῆς πηγῆς τοῦ ἁγίου Ἐλισσαίου ἐν Ἱεροσολύμοις.
the-one of-the spring of-the saint Elisha in Jerusalem

10 τὸ Σιλέθεως.
the-one of-Silethis

11 τὸ τοῦ ἀββᾶ Ῥωμανοῦ.
the-one of-the abba Romanus

12 ἐν Βηθλεὲμ τὸ τεῖχος ἀνενέωσε.
in Bethlehem the wall he-renewed

13 τὸ τοῦ ἀββᾶ Ἰωάννου ἐν Βηθλεέμ.
the-one of-the abba John in Bethlehem

14 Φρέατά τε ἢ δεξαμενὰς ᾠκοδομήσατο οὕτως·
wells both or cisterns he-built thus

15 εἰς τὸ τοῦ ἁγίου Σαμουὴλ φρέαρ καὶ τεῖχος.
for the-one of-the saint Samuel a-well and a-wall

16 εἰς τὸ τοῦ ἀββᾶ Ζαχαρίου φρέαρ.
for the-one of-the abba Zacharias a-well

17 εἰς τὸ Σωσάννης φρέαρ.
for the-one of-Susanna a-well

18 εἰς τὸ Ἀφελίου φρέαρ.
for the-one of-Aphelius a-well

19 εἰς τὸ τοῦ ἁγίου Ἰωάννου ἐν τῷ Ἰορδάνῃ
for the-one of-the saint John at the Jordan
φρέαρ.
a-well

εἰς τὸ τοῦ ἁγίου Σεργίου ἐν ὄρει καλουμένῳ 20
for the-one of-the saint Sergius on a-mountain called
Κισσερῶν φρέαρ.
Cisseron a-well
τὸ τεῖχος Τιβεριάδος. 21
the wall of-Tiberias
τὸ ἐν Βόστρᾳ πτωχεῖον Φοινίκης. 22
the in Bostra poorhouse of-Phoenicia
τὸν οἶκον τῆς θεοτόκου ἐν Πορφυρεῶνι. 23
the house of-the God-bearer in Porphyreon
μοναστήριον τοῦ ἁγίου Φωκᾶ ἐν ὄρει. 24
a-monastery of-the saint Phocas on mountain
τὸν οἶκον τοῦ ἁγίου Σεργίου ἐν Πτολεμαΐδι. 25
the house of-the saint Sergius in Ptolemais
ἐν Δαμασκῷ οἶκον τοῦ ἁγίου Λεοντίου. 26
in Damascus a-house of-the saint Leontius
ὑπὸ Ἀπάμειαν πτωχεῖον τοῦ ἁγίου Ῥωμανοῦ 27
near Apamea a-poorhouse of-the saint Romanus
ἀνενεώσατο.
he-renewed
τεῖχος τοῦ μακαρίου Μάρωνος. 28
wall of-the blessed Maron
ὑπὸ Θεουπόλεως τὴν ἐκκλησίαν Δάφνης ἀνενέωσεν. 29
near Theoupolis the church of-Daphne he-renewed
ἐν Λαοδικείᾳ τὸν ἁγίου Ἰωάννου ἀνενέωσε. 30
in Laodicea the-church of-saint John he-renewed
Μεσοποταμίας μοναστήριον τοῦ ἁγίου Ἰωάννου 31
of-Mesopotamia monastery of-the saint John
ἀνενέωσε.
he-renewed

μοναστήρια Θελφράχης, Ζηβίνου, Θεοδότου, Ἰωάννου,
monasteries of-Thelphrachis of-Zebinus of-Theodotus of-John
Σαρμαθῆς, Κυρήνου, Βεγαδαίου.
of-Sarmathis of-Cyrenus of-Begadaeus

μοναστήριον εἰς τὸ Ἀπάδνας ἐν Ἰσαυρίᾳ.
a-monastery at the Apadnas in Isauria

πόλεως Κυρίκου λουτρὸν καὶ πτωχεῖον ἀνενεώσατο.
of-city of-Cyricus a-bath and a-poorhouse he-renewed

τὸ πτωχεῖον τοῦ ἁγίου Κόνωνος·
the poorhouse of-the saint Conon

τὸν ἀγωγὸν αὐτοῦ ἀνενέωσεν ἐν Κύπρῳ.
the aqueduct its he-renewed in Cyprus

οἶκον τοῦ ἁγίου Κοσμᾶ καὶ Δαμιανοῦ ἐν Παμφυλίᾳ.
house of-the saint Cosmas and Damian in Pamphylia

πτωχεῖον τοῦ ἁγίου Μιχαὴλ ἐν ἐμπορίῳ ἐπίκλην ἐπινείου
a-poorhouse of-the saint Michael in market called harbor
πόλεως Πέργης τῆς Παμφυλίας.
of-city Perge the of-Pamphylia

PROCOPIUS

ΠΕΡΙ ΚΤΙΣΜΑΤΩΝ

The Buildings, Book Six

At Alexandria the grain from the Nile comes down a canal on barges to a place called Phiale, where it was often lost in riots; Justinian walled the place. The Nile divides Asia, on its right, from Libya, on its left. At Taposiris, a day from Alexandria, where Osiris is said to be buried, he built lodgings for the magistrates and baths.

Ταῦτα μὲν οὖν Ἰουστινιανῷ βασιλεῖ τῇδε πεποίηται. 1
these(-things) indeed then by-Justinian emperor thus have-been-done
ἐν δὲ Ἀλεξανδρείᾳ ἐξείργασται τάδε. Νεῖλος ποταμὸς
in and Alexandria have-been-worked these(-things) Nile river
οὐκ ἄχρι ἐς Ἀλεξάνδρειαν φέρεται, ἀλλ᾽ ἐς πόλισμα
not up to Alexandria is-carried but to a-small-town
ἐπιρρεύσας, ὃ δὴ Χαιρέου ἐπονομάζεται, ἐπ᾽ ἀριστερᾷ
having-flowed which indeed of-Chaereas is-named on left
τὸ λοιπὸν ἴεται, ὅρια τά γε Ἀλεξανδρέων ἀπολιπών.
for-the rest it-goes borders the at-least of-the-Alexandrians having-left
διὸ δὴ οἱ πάλαι ἄνθρωποι, ὡς μὴ ἀμοιροίη τὸ 2
wherefore indeed the of-old men so-that not have-no-share the
παράπαν ἡ πόλις, διώρυχα ἐκ τῆς Χαιρέου κατορύξαντες
whole the city canal from the Chaereas having-dug-down
βαθεῖάν τινα βραχείᾳ τοῦ ποταμοῦ ἐς αὐτὴν ἐκροῇ
deep some by-short of-the river into it outflow
διεπράξαντο ἐσιτητὰ εἶναι. οὗ δὴ καὶ ἄλλας τινὰς
they-caused enterable to-be into-which indeed also other some
ἐκροὰς ἐκ λίμνης Μαρίας ἐσβάλλειν ξυμβαίνει.
outflows from lake Maria to-fall it-happens
ἐπὶ ταύτης δὲ τῆς διώρυχος μεγάλαις μὲν ναυσὶ πλωΐμα 3
on this and the canal for-great indeed ships navigable
οὐδαμῇ γίνεται, ἐς λέμβους δὲ τὸν Αἰγύπτιον σῖτον ἐκ
in-no-way it-is into barges and the Egyptian grain from

τῆς Χαιρέου μεταβιβάσαντες, οὕσπερ καλεῖν διαρήματα
the Chaereas having-transferred which to-call diaremata
νενομίκασιν, ἔς τε τὴν πόλιν διακομίζουσιν· ἵνα δὴ
they-are-accustomed to both the city they-carry-across where indeed
ἐξικνεῖσθαι δυνατά ἐστι τῷ κατὰ τὴν διώρυχα ποταμῷ· καὶ
to-reach possible it-is for-the along the canal river and
κατατίθενται ἐν χώρῳ ὅνπερ Ἀλεξανδρεῖς καλοῦσι Φιάλην.
they-store(-it) in a-place which Alexandrians call Phiale
4 ἀλλ᾽ ἐπεὶ τῷ δήμῳ ἐς στάσιν πολλάκις καθισταμένῳ
but since for-the people into faction often setting-itself
ἐνταῦθα διολωλέναι τῷ σίτῳ ξυνέβη, βασιλεὺς Ἰουστινιανὸς
there to-have-perished for-the grain it-happened emperor Justinian
τειχίσματι τόνδε τὸν χῶρον περιβαλὼν τὴν ἐπὶ τῷ
with-a-wall this the place having-surrounded the against the
σίτῳ ἐπιβουλὴν ἀνεχαίτισε. ταῦτα μὲν οὖν Ἰουστινιανῷ
grain plotting checked these(-things) indeed then by-Justinian
βασιλεῖ ταύτῃ ἐξείργασται.
emperor thus have-been-worked
5 ἀλλ᾽ ἐπειδὴ ἐπ᾽ Αἰγύπτου ἡμᾶς ἤγαγε τῆς Λιβύης ὁμόρου
but since to Egypt us brought the Libya bordering
τανῦν ὁ λόγος, φέρε δὴ καὶ ὅσα διαπέπρακται
now the account come indeed also what-things have-been-accomplished
αὐτῷ ἐνταῦθα δηλώσωμεν, ἐπεὶ καὶ Λιβύην ξύμπασαν
by-him there let-us-show since also Libya whole
ὁ βασιλεὺς οὗτος ὑπὸ βαρβάροις κειμένην εὑρὼν τῇ
the emperor this under barbarians lying having-found to-the
ἄλλῃ ἐνῆψε Ῥωμαίων ἀρχῇ.
other he-joined of-Romans empire
6 Νεῖλος μὲν ὁ ποταμὸς ἐξ Ἰνδῶν ἐπ᾽ Αἰγύπτου φερόμενος
Nile indeed the river from Indians to Egypt being-carried
δίχα τέμνει τὴν ἐκείνῃ γῆν ἄχρι ἐς θάλασσαν. ἡ δὲ
in-two cuts the there land up to sea the-land and

σχιζομένη τῷ ῥείθρῳ καὶ ὀνόμασι διακέκριται τὸ ἐνθένδε
being-split by-the stream also by-names is-divided the thence
δυεῖν.
two
τὰ μὲν γὰρ ἐν δεξιᾷ τοῦ ποταμοῦ Ἀσία ὠνόμασται 7
the-parts indeed for on right of-the river Asia has-been-named
μέχρι που ἐς Φᾶσιν τὸν Κόλχον, ὅσπερ Ἀσίαν τε
up somewhere to Phasis the Colchian which Asia both
διορίζει καὶ γῆν τὴν Εὐρώπης, ἢ μέχρι ἐς πορθμεῖα τὰ
divides and land the of-Europe or up to straits the
Κιμμέρια καὶ ποταμὸν Τάναϊν.
Cimmerian and river Tanais
τούτων γὰρ δὴ ἕνεκα διαμάχονται πρὸς ἀλλήλους οἱ 8
of-these for indeed for-the-sake fight-it-out with one-another the-ones
ταῦτα σοφοί, ᾗπερ ἐν λόγοις μοι τοῖς ὑπὲρ τῶν πολέμων
these(-things) wise(-in) as in accounts by-me the about the wars
δεδήλωται περιηγουμένῳ τὸν Εὔξεινον καλούμενον πόντον.
has-been-shown describing the Euxine called sea
τὰ δὲ δὴ ἐν ἀριστερᾷ τοῦ Νείλου Λιβύη ἐκλήθη 9
the-parts and indeed on left of-the Nile Libya was-called
μέχρι ἐς ὠκεανόν, ὅσπερ ἐς δύοντά που τὸν ἥλιον
up to ocean which toward setting somewhere the sun
ἑκατέραν ἤπειρον διορίζει, ἐκροήν τε ἀφιείς τινα καὶ
each mainland divides outflow both letting-go some and
θάλασσαν τήνδε ποιούμενος.
sea this making
ἡ μὲν οὖν ἄλλη Λιβύη ξύμπασα ὀνόματα κατὰ χώραν 10
the indeed then other Libya whole names according-to land
ἑκάστην ἕτερα ἄττα διακεκλήρωται, ἐκ τῶν ἐκείνῃ
each other some has-been-allotted from the there
ἐπιγενομένων, ὡς τὸ εἰκός, ἐπικληθεῖσα.
having-come(-to-be) as the likely having-been-called

11 ἣ μέντοι ἐκ τῆς Ἀλεξανδρείας ὁρίων ἄχρι ἐς πόλιν
which however from the of-Alexandria borders up to city
Κυρήνην διήκουσα ἐπὶ Πενταπόλεώς ἐστιν· ἐπὶ τούτου
Cyrene reaching in Pentapolis is on this
δὴ μόνου τοῦ ὀνόματος Λιβύη καὶ νῦν ἐπικέκληται.
indeed alone the name Libya also now is-called
12 ἐνταῦθα πόλις ἐστὶν ἡμέρας ὁδῷ Ἀλεξανδρείας διέχουσα,
there a-city there-is of-a-day by-journey from-Alexandria distant
Ταφόσιρις ὄνομα, ἵνα δὴ ταφῆναι τὸν τῶν Αἰγυπτίων
Taposiris by-name where indeed to-have-been-buried the of-the Egyptians
θεὸν Ὄσιριν λέγουσιν.
god Osiris they-say
13 ἐν ταύτῃ τῇ πόλει ἄλλα τε πολλὰ καὶ τὰ τῶν ἀρχόντων
in this the city other(-things) both many and the of-the magistrates
καταλυτήρια καὶ λουτρῶνας ἐδείματο Ἰουστινιανὸς βασιλεύς.
lodgings and baths built Justinian emperor

II · PENTAPOLIS

Against the Moors Justinian built the forts of Paraetonium and Antipyrgus near Pentapolis, walled Teuchira, rebuilt the wall of Berenice with a public bath, and fortified two monasteries on the southern border. He restored the aqueduct of Ptolemais, whose people had left it for thirst, and walled Borium. At Augila, whose people worshiped Ammon and Alexander, he made them Christians and built them a church of the God-bearer, and he turned the ancient temple of the Jews of Borium, said to be Solomon's, into a church.

1 Ταύτης δὲ τῆς Λιβύης ἔρημα μὲν τὰ πολλὰ τετύχηκεν
of-this and the Libya deserted indeed the most happened
εἶναι, ἀπημελημένα ἐκ τοῦ ἐπιπλεῖστον.
to-be neglected for the most-part

καὶ αὐτῆς δὲ προεγρηγορὼς ὁ καθ᾽ ἡμᾶς βασιλεὺς 2
and for-it too watching-before the in our-time emperor
προμηθεῖ γνώμῃ, ὡς μή τι αὐτῇ παθεῖν ἐξ ἐπιδρομῆς
with-provident judgment that not anything to-it to-suffer from incursion
πρὸς Μαυρουσίων τῶν πλησιοχώρων ξυμβαίη, ὀχυρώματά
by Moors the neighboring should-happen strongholds
τε δύο καὶ φυλακτήρια κατεστήσατο, ὧν θάτερον
both two and garrisons he-established of-which the-one
μὲν Παρατόνιον ὀνομάζουσιν, Ἀντίπυργον δὲ τὸ ἕτερον
indeed Paraetonium they-name Antipyrgus and the other
ἐπικέκληται, οὐ πόρρω Πενταπόλεως κείμενον.
is-called not far of-Pentapolis lying
διέχει δὲ ἡ Πεντάπολις Ἀλεξανδρείας ὁδῷ ἡμερῶν 3
is-distant and the Pentapolis from-Alexandria by-a-journey of-days
εἴκοσιν εὐζώνῳ ἀνδρί.
twenty for-a-well-girt man
ἐν ταύτῃ δὲ τῇ Πενταπόλει καὶ βασιλεὺς Ἰουστινιανὸς 4
in this and the Pentapolis also emperor Justinian
Τεύχρειαν τὴν πόλιν ἐρύματι ἐτειχίσατο ἐχυρωτάτῳ.
Teuchira the city with-a-fortification walled strongest
καὶ Βερνίκης τὸν περίβολον ἐκ θεμελίων ἀνῳκοδομήσατο 5
and of-Berenice the circuit-wall from foundations he-rebuilt
τῶν ἐσχάτων.
the lowest
οὗ δὴ καὶ βαλανεῖον πεποίηται, δημοσίᾳ παρεχόμενον 6
where indeed also a-bath has-been-made publicly providing
τῇ πόλει τὴν χρείαν.
to-the city the use
ἀλλὰ κἂν ταῖς Πενταπόλεως ἐσχατιαῖς, αἵπερ εἰσὶ 7
but also-in the of-Pentapolis extremities which are
τετραμμέναι πρὸς ἄνεμον νότον, ὀχυρώματα ἐν δυοῖν
turned toward wind south strongholds in two

μοναστηρίοιν ἐξείργασται, οἷσπερ Ἀγριολώδης τε καὶ
monasteries have-been-worked of-which Agriolodes both and
Δινάρθιον ὀνόματά ἐστιν·
Dinarthion names are

8 ἅπερ ἐπιτειχίσματα κεῖται τοῖς ταύτῃ βαρβάροις, τῷ μὴ
which fortresses-against lie to-the there barbarians for-the not
καταθέοντας ὡς λαθραιότατα ἐπισκήπτειν ἐξαπιναίως ἐς
overrunning as most-secretly to-strike suddenly into
γῆν τὴν Ῥωμαίων.
land the of-Romans

9 Ἔστι δέ τις ἐνταῦθα πόλις, Πτολεμαΐς ὄνομα, τὸ
there-is and a-certain there city Ptolemais by-name the
μὲν παλαιὸν εὐδαίμων τε γεγενημένη καὶ πολυάνθρωπος,
indeed of-old prosperous both having-been and populous
προϊόντος δὲ τοῦ χρόνου ὕδατος ἀπορίᾳ πολλῇ ἐς
going-forward and the time of-water by-lack great into
ὀλιγανθρωπίαν ἀποκριθεῖσα.
fewness-of-men reduced

10 τῶν γὰρ οἰκητόρων ὁ πολὺς ὅμιλος δίψει ἐχόμενοι
of-the for inhabitants the great throng by-thirst held
πολλῷ ἔμπροσθεν ἐνθένδε ἐξαναστάντες ἀπεχώρησαν ὅπῃ
much before thence having-risen-up departed where
ἑκάστῳ δυνατὰ γέγονεν.
for-each possible it-was

11 ἀλλὰ νῦν ὁ βασιλεὺς οὗτος ἀνανεωσάμενος τὴν
but now the emperor this having-renewed the
ὀχεταγωγίαν τῇ πόλει τὸ πρότερον αὐτῇ τῆς εὐδαιμονίας
aqueduct to-the city the former to-it of-the prosperity
ἀπέδωκε σχῆμα. Πενταπόλεως δὲ πόλις ἐσχάτη ἐστὶ
restored form of-Pentapolis and city last is
πρὸς δύοντά που τὸν ἥλιον, Βόριον ὄνομα.
toward setting somewhere the sun Borium by-name

οὗ δὴ τὰ ὄρη συννενευκότα τε πρὸς ἄλληλα, καὶ τῇ 12
where indeed the mountains having-converged both toward one-another and by-the
ἐνθένδε στενοχωρίᾳ ξυμπεφραγμένα, τῶν ἐπὶ τὴν χώραν
thence narrowness blocked-up from-the into the land
εἰσόδων ἀποκεκλεῖσθαι τοὺς πολεμίους διασκευάζονται.
entrances to-be-shut-out the enemies arrange
ταύτην ὁ βασιλεὺς τὴν πόλιν ἀτείχιστον οὖσαν ἐρύματι 13
this the emperor the city unwalled being with-a-fortification
ἐχυρωτάτῳ περιβαλών, ἐν τῷ ἀσφαλεῖ τὸ λοιπὸν
strongest having-surrounded in the security for-the rest
βεβαιότατα σὺν πάσῃ ἀμφ᾽ αὐτὴν χώρᾳ διεπράξατο εἶναι.
most-securely with all around it land he-caused to-be
Πόλεις δέ πού εἰσι δύο ἐπ᾽ ὀνόματος ἑνὸς ᾠκημέναι. 14
cities and somewhere are two under name one inhabited
Αὐγίλα ἑκατέρα ἐκλήθη. αὗται τοῦ Βορίου διέχουσιν 15
Augila each was-called these from-the Borium are-distant
ὁδῷ τεττάρων ἡμερῶν μάλιστα εὐζώνῳ ἀνδρί,
by-a-journey of-four days about for-a-well-girt man
τετραμμέναι μὲν αὐτοῦ πρὸς ἄνεμον νότον, ἀρχαῖαι δὲ οὖσαι
turned indeed from-it toward wind south ancient and being
καὶ τῶν οἰκητόρων ἀρχαιότροπα τὰ ἐπιτηδεύματα ἔχουσαι·
and of-the inhabitants ancient-fashioned the practices having
θρησκείαν γὰρ πάντες καὶ εἰς ἐμὲ τῆς πολυθεΐας ἐνόσουν.
worship for all even to me of-the polytheism were-sick-with
ἐνταῦθα ἐκ παλαιοῦ τῷ τε Ἀμμῶνι καὶ Ἀλεξάνδρῳ τῷ 16
there from old to-the both Ammon and to-Alexander the
Μακεδόνι ἀνέκειτο ἕδη.
Macedonian were-dedicated shrines
οἷς δὴ ἐσφαγιάζοντο μέχρι ἐς τὴν Ἰουστινιανοῦ 17
to-whom indeed were-sacrificing up to the of-Justinian
βασιλείαν οἱ ἐπιχώριοι.
reign the natives

18 ἦν δὲ καὶ ὅμιλος αὐτοῖς τῶν ἱεροδούλων καλουμένων
there-was and also a-throng for-them of-the temple-slaves called
πολύς. νῦν δὲ δὴ βασιλεὺς οὗτος οὐχ ὅσον ἐς τὰ
great now and indeed emperor this not only for the
σώματα τοῖς κατηκόοις ἐκποριζόμενος τὴν ἀσφάλειαν,
bodies for-the subjects providing the safety
ἀλλὰ καὶ τὰς ψυχὰς διασώσασθαι ἐν ἐπιμελείᾳ ποιούμενος,
but also the souls to-save in care making
καὶ τῶν ταύτῃ ἀνθρώπων κατὰ πάντα προὐνόησε τρόπον.
also of-the there men in every took-thought way
19 τά τε γὰρ ἄλλα διαφερόντως αὐτῶν ἐπιμελεῖσθαι
the both for other(-things) especially them to-care-for
οὐδαμῇ ἀπηξίωσε καὶ τὴν εὐσεβείας ἐδίδαξε δόξαν
in-no-way he-disdained and the of-piety taught belief
Χριστιανοὺς πανοικεσίᾳ πεποιημένος καὶ μεταπορευόμενος
Christians with-all-the-household having-made and changing
λελυμασμένα σφίσι τὰ πάτρια ἤθη.
(as)-defiled for-them the ancestral customs
20 οἷς δὴ καὶ νεὼν τῆς θεοτόκου ἐδείματο, φυλακτήριον
for-whom indeed also a-church of-the God-bearer he-built a-guard
ταῖς πόλεσι τῆς τε σωτηρίας καὶ τῆς ἀμφὶ τῇ δόξῃ
for-the cities of-the both safety and of-the about the belief
ἀληθείας ἐσόμενον. ταῦτα μὲν οὖν τῇδέ πη ἔσχε.
truth going-to-be these(-things) indeed then thus somehow were
21 Βόριον δὲ ἡ πόλις Μαυρουσίοις γειτνιῶσα βαρβάροις,
Borium and the city to-Moors neighboring barbarians
φόρου ὑποτελὴς οὐ γεγένηται ἐς τόδε τοῦ χρόνου· οὐδέ
of-tribute liable not has-been to this the time nor
τινες πώποτε δασμολόγοι ἢ φορολόγοι ἐς αὐτὴν ἵκοντο,
any ever tax-gatherers or tribute-collectors to it came
ἐξ οὗ γεγόνασιν ἄνθρωποι.
from which they-have-been men

οἱ δὲ Ἰουδαῖοι ᾤκηντο ἐκ παλαιοῦ αὐτῶν ἄγχιστα· οὗ 22
the and Jews dwelt from old them nearest where
δὴ καὶ νεὼς ἦν ἀρχαῖος αὐτοῖς, ὅνπερ ἐσέβοντό τε
indeed also a-temple was ancient for-them which they-revered both
καὶ ἐτεθήπεσαν μάλιστα, δειμαμένου τοῦτο Σολομῶνος,
and marveled-at most having-built this Solomon
ὥσπερ φασί, βασιλεύοντος Ἑβραίων τοῦ ἔθνους.
as they-say reigning-over of-Hebrews the nation
ἀλλὰ καὶ αὐτοὺς ἅπαντας Ἰουστινιανὸς βασιλεὺς 23
but also them all Justinian emperor
μεταγνῶναί τε τὰ πάτρια ἤθη, καὶ Χριστιανοὺς γεγονέναι
to-change both the ancestral customs and Christians to-have-become
διαπραξάμενος, τοῦτον δὴ τὸν νεὼν ἐς ἐκκλησίας
having-caused this indeed the temple into of-a-church
μεθηρμόσατο σχῆμα.
changed form

III · THE SYRTES AND TRIPOLIS

The Great Syrtes is a crescent-shaped gulf from which a ship blown inside cannot escape and whose reefs wreck it, so that only the crews in their boats survive. Beyond lie the borders of Tripolis, where the Moors of Cidame, long allies of Rome, became Christians at Justinian's persuasion and are called Pacati, from pax, peace.

Μετὰ τούτους αἱ Σύρτεις εἰσὶν αἱ μεγάλαι ὠνομασμέναι. 1
after these the Syrtes are the Great named
ἐφ' οὗ δέ εἰσι σχήματος αὗται, καὶ ὅτου δὴ ἕνεκα
in what and are form these and of-what indeed for-the-sake
τούτου μεταλαγχάνουσι τοῦ ὀνόματος, ἐγὼ δηλώσω.
this they-share-in the name I will-show

2 προβέβληταί τις ἐνταῦθα ἠιών· σχιζομένη δὲ αὐτὴ
projects a-certain there shore being-split and it
τῇ τῆς θαλάσσης ἐπιρροῇ, τῷ τε ῥοθίῳ ἀφανιζομένη,
by-the of-the sea inflow by-the both surf being-made-to-vanish
ἀποβαίνειν δοκεῖ, καὶ ἐφ' ἑαυτὴν ὑποχωροῦσα ὀπίσω ἰέναι·
to-go-away seems and upon itself withdrawing back to-go
3 ἐς κόλπον δὲ μηνοειδῆ ἐπὶ μακρότατον τέτραπται. καὶ
into a-gulf and crescent-shaped for longest(-way) it-is-turned and
ὁ μὲν ἀρχομένης πλευρᾶς διάπλους ἐς τετρακοσίους
the indeed of-the-beginning side voyage-across to four-hundred
διήκει σταδίους· τοῦ δὲ μηνοειδοῦς τὸ περίμετρον ἐς
reaches stades of-the and crescent the circumference to
ἡμερῶν ἓξ ὁδὸν κατατείνει.
of-days six a-journey stretches
4 ταύτης γὰρ ἡ θάλασσα πεπιεσμένη τῆς ἠπείρου ἐντὸς
this for the sea pressed the mainland within
τὸν κόλπον ποιεῖται.
the gulf makes
5 ἐπειδάν τε ναῦς ἀνέμῳ ἢ κλύδωνι βιαζομένη τοῦ διάπλου
when both a-ship by-wind or by-surge forced the voyage-across
ἐντὸς ὑπὲρ τοῦ μηνοειδοῦς τὴν ἀρχὴν γένηται, τὸ ἐνθένδε
within beyond the crescent the beginning comes the thence
αὐτῇ ἐπανιέναι ἀμήχανά ἐστιν, ἀλλὰ συρομένῃ τὸ
for-it to-return impossible it-is but (being)-dragged for-the
λοιπὸν ἔοικε, καὶ διαφανῶς ἐπίπροσθεν ἀεὶ ἑλκομένῃ.
rest it-seems and manifestly forward always drawn
6 καὶ ἀπ' αὐτοῦ, οἶμαι, οἱ πάλαι ἄνθρωποι τὸν χῶρον τοῦ
and from this I-think the of-old men the place the
πάθους τῶν νεῶν ἕνεκα Σύρτεις ὠνόμασαν.
experience of-the ships for-the-sake Syrtes named

οὐ μὴν οὐδὲ διανεῦσαι τοῖς πλοίοις ἄχρι ἐς τὴν ἠιόνα 7
not indeed not-even to-swim-through for-the boats up to the shore
δυνατὰ γεγένηται. πέτραι γὰρ ὕφαλοι διακεκληρωμέναι
possible has-been rocks for under-sea having-been-spread-over
τὰ πλεῖστα τοῦ κόλπου πλώϊμα οὐ ξυγχωροῦσιν ἐνταῦθα
the most of-the gulf navigable not allow there
εἶναι, ἀλλ' ἐν τοῖς βράχεσι τὰς ναῦς διαχρῶνται.
to-be but in the shallows the ships they-destroy
μόνοις δὲ τοῖς λέμβοις οἱ πλωτῆρες τούτων δὴ τῶν 8
only and in-the boats the sailors of-these indeed the
νηῶν οἷοί τέ εἰσι διασώζεσθαι, ἂν οὕτω τύχοι, μετὰ
ships able — are to-be-saved — thus it-might-happen with
κινδύνων τὰς διεξόδους ποιούμενοι.
dangers the passages making
Τριπόλεως τῇδε τῆς καλουμένης τὰ ὅριά ἐστι. Μαυρούσιοί 9
of-Tripolis there the called the borders are Moors
τε βάρβαροι ἐνταῦθα οἰκοῦσι, Φοινικικὸν ἔθνος.
both barbarians there dwell a-Phoenician people
οὗ δὴ καὶ πόλις ἐστὶ Κιδαμὴ ὄνομα. ἐνταῦθά τε 10
where indeed also a-city there-is Cidame by-name there both
Μαυρούσιοι ᾤκηνται Ῥωμαίων ἔνσπονδοι ἐκ παλαιοῦ
Moors dwell of-Romans allies from old
ὄντες· οἵπερ ἅπαντες πεισθέντες Ἰουστινιανῷ βασιλεῖ,
being who all persuaded by-Justinian emperor
δόγματι τῶν Χριστιανῶν ἐθελούσιοι προσεχώρησαν.
to-doctrine of-the Christians willingly went-over
Πάκατοι δὲ οὗτοι τανῦν οἱ Μαυρούσιοι ἐπικαλοῦνται, 11
Pacati and these now the Moors are-called
ἐπεὶ πρὸς Ῥωμαίους ἀεὶ σπονδὰς ἔχουσι. πάκεν γὰρ τὴν
since toward Romans always treaties they-have pacem for the
εἰρήνην τῇ Λατίνων καλοῦσι φωνῇ.
peace in-the of-Latins they-call tongue

12 Πενταπόλεως δὲ Τρίπολις ἡμερῶν διέχει ὁδῷ εἴκοσιν
from-Pentapolis and Tripolis of-days is-distant by-a-journey twenty
εὐζώνῳ ἀνδρί.
for-a-well-girt man

IV · LEPTIS MAGNA AND THE LESSER SYRTES

Justinian rebuilt the walls of Leptis Magna on a smaller circuit, leaving the part buried under sand, built a church of the God-bearer and four other churches, and rebuilt the fallen palace of Severus. Procopius tells how the Leucathae Moors, who had emptied the city, saw a fire in it, and how seers foretold its resettlement before the Roman army came. He gave the city baths and a new wall, made the Gadabitani Christians, and walled Sabaratha. At the Lesser Syrtes the sea floods the land each day and withdraws, and the sailors prop their ships on poles until it returns.

1 Πόλις ἐνθένδε ἡ Λεπτιμάγνα ἐκδέχεται, μεγάλη μὲν
a-city thence the Leptimagna succeeds great indeed
καὶ πολυάνθρωπος τὸ παλαιὸν οὖσα, ἔρημος δὲ χρόνῳ
and populous the of-old being deserted and in-time
ὕστερον γεγενημένη ἐκ τοῦ ἐπιπλεῖστον, ψάμμου τε
later having-become for the most-part of-sand both
πλήθει τὰ πολλὰ τῷ ἀπημελῆσθαι καταχωσθεῖσα.
by-a-mass the most by-the being-neglected buried
2 καὶ ταύτης δὲ τὸν περίβολον ἐκ τῶν θεμελίων ὁ καθ'
and of-this too the circuit-wall from the foundations the in
ἡμᾶς ᾠκοδομήσατο βασιλεύς, οὐ τοσοῦτον μέντοι, ὅσος
our-time built emperor not so-great however as-great-as
τὸ πρότερον ἦν, ἀλλὰ κατὰ πολὺ ἧσσονα· ὡς μὴ τῷ
the formerly it-was but by much smaller so-that not by-the

μεγέθει σφαλερὰ καὶ αὖθις ἡ πόλις εἴη, καὶ πολεμίοις
size unsafe also again the city might-be and for-enemies
μὲν ἁλωτή, ψάμμῳ δὲ πρόχειρος.
indeed takeable for-sand and ready
νῦν δὲ δὴ τῆς πόλεως τὸ μὲν καταχωσθὲν ἐφ' 3
now and indeed of-the city the-part indeed buried in
οὗπερ ἦν σχήματος εἴασεν οὕτω δὴ ψάμμῳ ἐς λόφους
which it-was form he-left thus indeed by-sand into hills
συνειλεγμένῃ κεκαλυμμένον, τήν τε λοιπὴν ἐτειχίσατο ἐν
gathered covered the both rest he-walled in
τῷ τῆς οἰκοδομίας ἐχυρῷ μάλιστα.
the of-the building strength most
καὶ ἱερὸν μὲν ἀξιοθέατον τῇ θεοτόκῳ τῇδε ἀνέθηκεν, 4
and a-church indeed worth-seeing to-the God-bearer there he-dedicated
ἐκκλησίας δὲ τέτταρας ἐδείματο ἄλλας.
churches and four he-built other
πρὸς δὲ καὶ ἀνῳκοδομήσατο τὰ τῇδε γεγονότα ἐν 5
besides and also he-rebuilt the there having-been-made in
τοῖς ἄνω χρόνοις καὶ καταπεπτωκότα βασίλεια, Σεβήρου
the former times and fallen palace of-Severus
βασιλέως τοῦ παλαιοῦ ἔργον· ὃς δὴ ἐνθένδε ὁρμώμενος
emperor the old a-work who indeed thence setting-out
μνημεῖα τῆς εὐδαιμονίας τὰ βασίλεια τάδε ἀπέλιπεν.
(as)-memorials of-the prosperity the palace this left
Ἀλλὰ γὰρ ἐνταῦθα γενόμενος τοῦ λόγου τὸ ξυνενεχθὲν 6
but for here having-come of-the account the-thing having-happened
ἐπὶ Λεπτιμάγνας ἐν χρόνῳ τῷ καθ' ἡμᾶς ὡς ἥκιστα
at Leptimagna in time the in our(-day) as least
σιωπήσομαι. ἤδη μὲν Ἰουστινιανοῦ τὴν βασιλείαν
I-shall-keep-silent already indeed Justinian the empire
παραλαβόντος, οὔπω δὲ πόλεμον τὸν Βανδιλικὸν
having-received not-yet and war the Vandal

ἀνῃρημένου, Μαυρούσιοι βάρβαροι, οἱ Λευκάθαι καλούμενοι,
having-taken-up Moors barbarians the Leucathae called
βιασάμενοι τοὺς Λιβύης τότε κυρίους Βανδίλους, ἔρημον
having-overpowered the of-Libya then masters Vandals deserted
ἀνθρώπων τὴν Λεπτιμάγναν παντάπασι κατεστήσαντο.
of-men the Leptimagna altogether made

7 ἐν χώροις δὲ λοφώδεσι ξὺν τοῖς ἡγεμόσι διατριβήν τινα
in places and hilly with the leaders stay some
ἔχοντες Λεπτιμάγνης οὐ πολλῷ ἄποθεν, φλόγα πυρὸς
having from-Leptimagna not much off a-flame of-fire
ἐξαπιναίως ἐν μέσῃ τῇ πόλει τεθέανται.
suddenly in middle-of the city they-beheld

8 πολεμίους δὲ ὑποτοπήσαντες ἐνδήμους ἐνταῦθα γενέσθαι,
enemies and having-suspected (as)-dwellers there to-have-come
δρόμῳ ἐπ᾽ αὐτοὺς ἐβοήθουν πολλῷ.
at-a-run against them they-hastened-to-help with-much(-speed)

9 ἀνθρώπων δὲ οὐδένα εὑρόντες ἐπὶ τοὺς μάντεις τὸ πρᾶγμα
of-men and nobody having-found to the seers the matter
ἦγον, οἳ δὴ τῷ ξυμβεβηκότι τεκμηριούμενοι τὴν
they-brought who indeed from-the event judging the
Λεπτιμάγναν οὐκ εἰς μακρὰν οἰκισθήσεσθαι προὔλεγον.
Leptimagna not after long would-be-inhabited foretold

10 οὐ πολλῷ τε ὕστερον ἀφικόμενος ὁ τοῦ βασιλέως στρατὸς
not much both later having-come the of-the emperor army
Λιβύην τε τὴν ἄλλην καὶ Τρίπολιν ἔσχε, Βανδίλων τε καὶ
Libya both the other and Tripolis held of-Vandals both and
Μαυρουσίων καθυπέρτερος τῷ πολέμῳ γεγενημένος. ἐγὼ
Moors superior in-the war having-become I
δὲ ὅθεν τὴν ἐκβολὴν τοῦ λόγου ἐποιησάμην ἐπάνειμι.
and from-where the digression of-the account I-made return

Ἐν ταύτῃ τῇ πόλει Ἰουστινιανὸς βασιλεὺς καὶ λουτρῶνας 11
in this the city Justinian emperor also baths
ἐν δημοσίῳ πεποίηται, τόν τε περίβολον τῆς πόλεως
in public has-made the both circuit-wall of-the city
ἐκ θεμελίων τῶν ἐσχάτων ᾠκοδομήσατο, καὶ τοῖς τε
from foundations the lowest he-built and with-the both
βαλανείοις τοῖς τε ἄλλοις πᾶσιν ἐς πόλεως αὐτὴν
baths with-the both other all into of-a-city it
κατεστήσατο σχῆμα.
he-brought form
τούς τε πλησιοχώρους αὐτῇ βαρβάρους, οἳ Γαδαβιτανοὶ 12
the both neighboring it barbarians who Gadabitani
ἐπικαλοῦνται, κατακόρως ἐς τόδε τοῦ χρόνου τὴν
are-called abundantly to this the time the
Ἑλληνικὴν καλουμένην ἀθεΐαν δοξάζοντας, Χριστιανοὺς
Hellenic called godlessness believing Christians
διεπράξατο γενέσθαι τανῦν προθυμίᾳ τῇ πάσῃ.
he-caused to-become now with-zeal the all
ἀλλὰ καὶ Σαβαραθὰν ἐτειχίσατο πόλιν, οὗ δὴ καὶ 13
but also Sabaratha he-walled a-city where indeed also
λόγου ἀξίαν πολλοῦ ἐκκλησίαν ἐδείματο.
of-account worthy much a-church he-built
Πόλεις δὲ δύο εἰσὶ ταύτης ἐν ἐσχάτῳ τῆς χώρας, Τάκαπά 14
cities and two are of-this in last(-part) of-the land Tacapa
τε καὶ Γίργις, ὧν δὴ κατὰ μέσον Σύρτεις τὰς μικρὰς
both and Girgis of-which indeed in middle Syrtes the Lesser
ξυμβαίνει εἶναι.
it-happens to-be

15 ἐνταῦθα γίνεταί τι ἐς ἡμέραν ἑκάστην θαυμάσιον ἡλίκον.
there happens something on day each wondrous how-great
ἡ θάλασσα ἐν στενῷ θλιβομένη ἀπεργάζεται μηνοειδῆ
the sea in a-narrow(-space) pressed makes a-crescent-shaped
κόλπον, ᾗπερ γίνεσθαι καὶ κατὰ τὰς ἄλλας Σύρτεις ἐρρήθη.
gulf as to-happen also at the other Syrtes was-said
16 ἀναβαίνει δὲ εἰς τὴν ἤπειρον πλεῖον ἢ ὁδῷ ἡμέρας
it-goes-up and into the mainland more than by-a-journey of-a-day
εὐζώνῳ ἀνδρί, ἀμφί τε τὰ πρὸς ἑσπέραν ἐπάνεισιν
for-a-well-girt man about both the-time toward evening it-goes-back
αὖθις, ἐπιλιποῦσα ἐπὶ τοῦ ξηροῦ τὴν ἠιόνα ταύτην κατὰ
again having-left on the dry the shore this in
ταὐτὰ ταῖς ἄλλαις ἀκταῖς.
the-same(-way-as) the other coasts
17 οἵ τε ναῦται εἰς τὴν ἤπειρον ἀναγόμενοι θάλασσαν ἐπὶ
the both sailors into the mainland putting-to-sea a-sea for
καιροῦ γεγενημένην, τῆς μὲν ἡμέρας ὡς πορρωτάτω τὰ
a-time having-come-to-be the indeed by-day as farthest the
εἰωθότα ναυτίλλονται, ἀμφὶ δείλην δὲ πάντως ὀψίαν
accustomed(-courses) sail toward evening and wholly late
ὡς ἐν γῇ αὐλισόμενοι συσκευάζονται, κοντούς τινας ἐν
as on land going-to-bivouac they-prepare poles some in
παρασκευῇ μακροὺς ἔχοντες.
readiness long having
18 ἐπειδάν τε τάχιστα τοῦ ῥοθίου αἴσθωνται ὑπόπτως ἐς
when both soonest the surf they-perceive suspiciously toward
τὴν ἀναχώρησιν ἔχοντος, οἵδε τοὺς κοντοὺς ἔχοντες καὶ
the retreat being these the poles having and
διαχειρίζοντες ἐκπηδῶσιν ἐν ὀκνήσει οὐδεμιᾷ ἐκ τῆς νεώς.
handling leap-out in hesitation no from the ship

νηχόμενοι δὲ πρῶτον, εἶτα ἑστήκασιν, ἡνίκα ἂν σφίσι τὸ 19
swimming and first then they-stand when — for-them the
ὕδωρ οὐχ ὑπεραίροι τὰ πρόσωπα.
water not overtop the faces
ἔκ τε τῶν ἄκρων τοὺς κοντοὺς ἐπὶ τῆς γῆς 20
by both the ends the poles on the ground
προσουδίσαντες ἐν ξηρῷ ἤδη γεγενημένης ἢ ἐσομένης
having-fixed on dry already having-become or going-to-be
αὐτίκα δὴ μάλα, ὀρθοὺς ἱστᾶσιν, ὑποκεισομένους τῷ
at-once indeed very upright they-set going-to-lie-under the
πλοίῳ καὶ μετεωρίσοντας ἑκατέρωθεν, ὡς μὴ ἐπικλῖναν
boat and going-to-raise(-it) on-each-side so-that not having-tilted
ἐπὶ θάτερα συντριβὲς γένηται.
to the-other-side broken it-be
τῇ δὲ ὑστεραίᾳ ὄρθρου βαθέος ἡ μὲν ἤπειρος 21
on-the and next(-day) at-dawn deep the indeed mainland
μεταμφιασαμένη τὴν θάλασσαν ἐπικυρτοῦται κυμαίνουσα,
having-changed-into the sea arches surging
τὰ δὲ πλοῖα ἐπαιρόμενα πλεῖ.
the and boats raised sail
οἵ τε ναῦται περιελόντες ἐπικαιριώτατα τοὺς κοντοὺς 22
the both sailors having-removed most-opportunely the poles
ναυτίλλονται αὖθις.
sail again
παράλλαξίν τε οὐδεμίαν τοῦ ἔργου γενέσθαι, ἀλλ' ἐς 23
variation both no of-the work to-happen but on
ἡμέραν ἑκάστην ἡ τῶν στοιχείων διαδοχὴ ἐπιγίνεται.
day each the of-the elements succession comes-on

The Vandals under Gizeric pulled down the walls of Libya, sparing only Carthage and a few others, until Justinian, with God's help, sent Belisarius against Gelimer and destroyed the Vandal power. He renewed the forts of Libya and built many new ones. At Carthage, now also called Justiniana, he rebuilt the wall and dug a ditch, built churches to the God-bearer and to Saint Prima, stoas by the Maritime market, the Theodorianae baths, and a walled monastery at the harbor of Mandracium. He walled Vaga, which its people named Theodorias, and built the fort of Tucca.

1 Μετὰ δὲ Τρίπολίν τε καὶ Σύρτεις ἡμεῖς ἐπὶ Λιβύην τὴν
after and Tripolis both and Syrtes we to Libya the
ἄλλην ἴωμεν.
other let-us-go

2 ἀρκτέον δὲ ἡμῖν ἐκ Καρχηδόνος, ἣ μεγίστη τε καὶ
one-must-begin and for-us from Carthage which greatest both and
ἀξιολογωτάτη τῶν τῇδε πόλεων τυγχάνει οὖσα, τοσοῦτον
most-considerable of-the there cities happens being so-much
πρότερον ὑπειποῦσιν, ὡς ἡνίκα Γιζέριχός τε καὶ Βανδίλοι
before having-said-first that when Gizeric both and Vandals
Λιβύην ἔσχον, ἐνθύμημα ἐπιγέγονεν αὐτοῖς ἀξιώλεθρόν
Libya held a-thought came-upon them worthy-of-destruction
τε καὶ πρέπον βαρβάροις.
both and befitting barbarians

3 ἄμεινον γὰρ ἐλογίσαντο σφίσι τὰ πράγματα ἔξειν
better for they-reckoned for-them the affairs would-be
ἀτειχίστων ὄντων τῶν τῇδε χωρίων, ὡς μή τι
unwalled being the there places so-that not anything
καταλαβόντες αὐτῶν Ῥωμαῖοι Βανδίλους κακουργεῖν
having-seized of-them Romans Vandals to-harm
ἔχοιεν.
might-be-able

ἅπαντα οὖν τὰ τείχη ἐς τὸ ἔδαφος καθεῖλον εὐθύς. 4
all then the walls to the ground they-pulled-down at-once
βάρβαροι γὰρ ἅπαντες ἐκ τοῦ ἐπιπλεῖστον ἐπὶ πονηρῷ
barbarians for all for the most-part for harm
τῶν Ῥωμαίων βουλεύονται μὲν ὡς ὀξύτατα, ἐπιτελοῦσι
of-the Romans plan indeed as most-sharply carry-out
δὲ ὡς ταχύτατα, ὅσα ἂν αὐτοῖς δοκοῦντα εἴη.
and as most-quickly whatever — to-them seeming-good might-be
μόνον δὲ αὐτοῖς τό τε Καρχηδόνος καὶ ὀλίγα ἄττα 5
only and to-them the both of-Carthage and few some
ἐφ᾽ οὗπερ ἦσαν σχήματος ἔμειναν, ὧνπερ ἐπιμελεῖσθαι
in which they-were form remained of-which to-care-for
ἀπαξιοῦντες, διαφθορεῖν αὐτὰ τῷ χρόνῳ ἀφῆκαν.
disdaining to-be-destroyed them by-the time they-left
βασιλεὺς δὲ Ἰουστινιανὸς (ἀνθρώπων μὲν οὐδενὸς 6
emperor and Justinian of-men indeed nobody
ἐπαινοῦντος, ἀλλὰ καὶ πεφρικότων τὸ ἔργον ἁπάντων,
approving but also having-shuddered-at the work all
μόνου δὲ τοῦ θεοῦ εἰσηγουμένου τε καὶ ξυλλαμβάνοντος)
alone and — God proposing both and helping
Βελισάριόν τε καὶ στράτευμα ἐπὶ Λιβύην πέμψας,
Belisarius both and an-army to Libya having-sent
Γελίμερά τε καὶ δύναμιν τῶν Βανδίλων καθεῖλε, πολλοὺς
Gelimer both and power of-the Vandals overthrew many
μὲν κτείνας, τοὺς δὲ λοιποὺς δορυαλώτους πεποιημένος,
indeed having-killed the and rest captured-by-the-spear having-made
ᾗπέρ μοι ἐν λόγοις τοῖς ὑπὲρ τῶν πολέμων δεδήλωται.
as by-me in accounts the about the wars has-been-shown

7 καὶ τὰ μὲν καθῃρημένα τῶν ἐν Λιβύῃ ὀχυρωμάτων
and the indeed pulled-down of-the in Libya strongholds
ἀνενεώσατο ἅπαντα, ἕτερα δὲ παμπληθῆ ἐπετεχνήσατο
he-renewed all others and very-many he-contrived
νεοχμώσας αὐτός.
having-made-new himself

8 Πρῶτα μὲν οὖν Καρχηδόνος, τῆς νῦν καὶ Ἰουστινιανῆς,
first indeed then of-Carthage the now also Justiniana
ὡς τὸ εἰκός, καλουμένης ἐπεμελήσατο, διερρυηκότα μὲν
as the likely called he-took-care fallen-to-pieces indeed
τὸν περίβολον ἀνοικοδομησάμενος ἅπαντα, καὶ τάφρον
the circuit-wall having-rebuilt all and a-ditch
ἐν περιδρόμῳ διορύξας οὐ πρότερον οὖσαν.
in a-circuit having-dug not before being

9 ἀνέθηκε δὲ καὶ ἱερὰ τεμένη, τῇ μὲν θεοτόκῳ, ὅπερ
he-dedicated and also holy precincts to-the indeed God-bearer which
ἐν παλατίῳ ἐστί, καὶ τούτου ἐκτὸς τῶν τινι ἐπιχωρίων
in palace is and this outside of-the some native
ἁγίων, ἁγίᾳ Πρίμῃ.
saints to-saint Prima

10 ἔτι μέντοι καὶ στοὰς ἑκατέρωθι τῆς Μαριτίμου ἀγορᾶς
still however also stoas on-each-side of-the Maritime marketplace
καλουμένης ἐδείματο, καὶ βαλανεῖον ἐν δημοσίῳ ἀξιοθέατον,
called he-built and a-bath in public worth-seeing
ὅπερ ἐπωνύμως τῇ βασιλίδι Θεοδωριανὰς ἐπωνόμασαν.
which with-the-name-of the empress Theodorianae they-named

11 ἐδείματο δὲ καὶ μοναστήριον τοῦ περιβόλου ἐντὸς
he-built and also a-monastery the circuit-wall within
ἐπιθαλασσίδιον, ἄγχιστα τοῦ λιμένος, ὅπερ Μανδράκιον
on-the-sea nearest the harbor which Mandracium

ὀνομάζουσιν, ἐρύματί τε αὐτὸ ἐχυρωτάτῳ περιβαλὼν
they-name with-a-fortification both it strongest having-surrounded
φρούριον ἀνανταγώνιστον ἀπειργάσατο.
a-fort unassailable he-made
Ταῦτα μὲν οὖν ἐπὶ Καρχηδόνος τῆς νέας Ἰουστινιανῷ 12
these(-things) indeed then at Carthage the New by-Justinian
εἴργασται. ἐν δὲ χώρᾳ τῇ ἀμφ' αὐτήν, ἣ Προκονσουλαρία
have-been-worked in and land the around it which Proconsularis
ὠνόμασται, πόλις ἀτείχιστος ἦν Βαγὰ ὄνομα, μὴ ὅτι
has-been-named a-city unwalled there-was Vaga by-name not only
βαρβάροις ἐπιοῦσιν, ἀλλὰ καὶ τύχῃ τινὶ περιοῦσιν ἁλωτὴ
to-barbarians attacking but also by-chance some surviving takeable
οὖσα.
being
ταύτην ἐρύματι ἐχυρωτάτῳ περιβαλὼν Ἰουστινιανὸς 13
this with-a-fortification strongest having-surrounded Justinian
βασιλεὺς πόλιν τε διεπράξατο καὶ τοὺς οἰκήτορας ἐν τῷ
emperor a-city both he-made and the inhabitants in the
ἀσφαλεῖ διασώσασθαι οἵαν τε εἶναι.
security to-preserve able — to-be
οἳ δὴ τετυχηκότες τῆς χάριτος ἐς τὴν τῆς βασιλίδος 14
who indeed having-obtained the favor for the of-the empress
τιμὴν Θεοδωριάδα καλοῦσι τὴν πόλιν.
honor Theodorias call the city
φρούριον δὲ ᾠκοδομήσατο ἐν ταύτῃ τῇ χώρᾳ, ὃ Τούκκα 15
a-fort and he-built in this the land which Tucca
καλοῦσιν.
they-call

Justinian rewalled Hadrumetum, the metropolis of Byzacium, whose walls the Vandals had pulled down, and its people call it Justiniana. At Caputvada, where his army first landed and a spring rose in the waterless ground as the soldiers dug their palisade, he built a walled city, and its peasants became townsmen. Against the Moors he walled Mammes, Telepte, and Cululis, and the fort of Aumetera.

1 Ἐν Βυζακίῳ δὲ πόλις, Ἀδράμυτος ὄνομα, ἐν τῇ παραλίᾳ
in Byzacium and a-city Hadrumetum by-name in the coast
οἰκεῖται, μεγάλη καὶ πολυάνθρωπος ἐκ παλαιοῦ οὖσα, καὶ
is-inhabited great and populous from old being and
δι᾽ αὐτὸ τὸ τῆς μητροπόλεως ὄνομά τε καὶ ἀξίωμα
because-of this the of-the metropolis name both and dignity
κληρωσαμένη ἐν ταύτῃ τῇ χώρᾳ, ἐπεὶ πρώτην αὐτὴν
having-obtained in this the land since first it
μεγέθει τε καὶ τῇ ἄλλῃ εὐδαιμονίᾳ ξυμβαίνει εἶναι.
in-size both and in-the other prosperity it-happens to-be

2 ταύτης Βανδίλοι μὲν τὸν περίβολον ἐς ἔδαφος καθεῖλον,
of-this Vandals indeed the circuit-wall to ground pulled-down
ὡς μή ποτε Ῥωμαῖοι αὐτῆς ἀντιλαβέσθαι δυνατοὶ εἶεν.
so-that not ever Romans of-it to-lay-hold able might-be
Μαυρουσίοις τε καταθέουσι τὰ ἐκείνῃ χωρία ἐν ἐπιτηδείῳ
for-Moors both overrunning the there places in a-suitable(-way)
ἀπέκειτο.
it-lay-exposed

3 Λίβυες δὲ κατὰ ταύτην οἰκήτορες, ὅσα γε δυνατὰ
Libyans and in it inhabitants as-far-as at-least possible
τῆς σφῶν σωτηρίας ἐπιμελούμενοι, τὰ διῃρημένα τῶν
of-the their-own safety caring-for the gaps of-the
τοίχων ἀποτριγχώσαντες, τὰς οἰκίας ἀλλήλαις ἐνῆψαν·
walls having-coped-with-a-parapet the houses to-one-another joined

ἐξ ὧν δὴ τοῖς ἐπιοῦσι διαμαχόμενοι ἔν τε τῷ 4
from which indeed against-the-ones attacking fighting-it-out in both the
σφαλερῷ τῆς ἐλπίδος καὶ τῷ ἐπικινδύνῳ ἠμύνοντο.
unsafety of-the hope and the danger they-defended(-themselves)
ἦν δὲ αὐτοῖς ἐπὶ τριχὸς ἡ σωτηρία διηνεκὲς καὶ ἐπὶ 5
was and for-them on a-hair the safety continually and on
θατέρου σκέλους ἑστῶσα, πολεμουμένοις μὲν ὑπὸ τῶν
the-other leg standing warred-upon indeed by the
Μαυρουσίων, ὑπὸ δὲ τῶν Βανδίλων ἀμελουμένοις.
Moors by and the Vandals neglected
ἀλλ᾽ ἡνίκα Λιβύης κύριος τῷ πολέμῳ βασιλεὺς Ἰουστινιανὸς 6
but when of-Libya master in-the war emperor Justinian
γέγονε, τεῖχός τε τῇ πόλει εὐμέγεθες ἄγαν περιβαλὼν καὶ
became a-wall both for-the city very-large very having-surrounded and
φρουρὰν ἐνταῦθα στρατιωτῶν καταστησάμενος ἀξιόχρεων
a-garrison there of-soldiers having-established sufficient
θαρσεῖν τε ὑπὲρ ἀσφαλείας τοὺς τῇδε ᾠκημένους
to-be-confident both about safety the-ones there dwelling
πεποίηται ἀφροντιστῆσαί τε πολεμίων ἁπάντων.
he-has-made to-be-unconcerned-about both enemies all
διὸ δὴ αὐτὴν καὶ Ἰουστινιανὴν καλοῦσι τανῦν, 7
wherefore indeed it also Justiniana they-call now
σῶστρα τῷ βασιλεῖ ταῦτα ἐκτίνοντες, μόνῃ τοῦ
a-reward-for-safety to-the emperor this paying by-only of-the
ὀνόματος τῇ παρενθήκῃ τὴν εὐγνωμοσύνην ἐπιδεικνύμενοι,
name the addition the gratitude showing
ἐπεὶ ἄλλο οὐδὲν ὅτῳ ἂν καὶ βασιλέως τὴν ἀγαθοεργίαν
since other nothing with-which — even of-emperor the good-deed
ἀμείβοιντο οὔτε αὐτοὶ εἶχον οὔτε οὗτος ἐβούλετο.
they-might-repay neither they had nor he wished

8 Ἦν δέ τι καὶ ἄλλο ἐν τῇ τοῦ Βυζακίου παραλίᾳ
there-was and some also other in the of-the Byzacium coast
χωρίον, ὅπερ ἐκάλουν Καπούδβαδα οἱ ἐπιχώριοι. ἐνταῦθα
place which called Caputvada the natives there
καταπλεύσας τὰ πρῶτα ὁ τοῦ βασιλέως στόλος Λιβύων
having-sailed-in the first the of-the emperor fleet of-Libyans
τῆς γῆς ἐπεβάτευεν, ἡνίκα ἐπὶ Γελίμερά τε καὶ Βανδίλους
the land set-foot-on when against Gelimer both and Vandals
ἐστράτευεν.
it-campaigned

9 οὗ δὴ καὶ τὸ θαυμάσιον ἐκεῖνο καὶ λόγου κρεῖσσον
where indeed also the wondrous that and than-account greater
ἐς τὸν βασιλέα ἐπιδέδεικται ὁ θεὸς δώρημα, ὅπερ μοι
toward the emperor has-displayed — God gift which by-me
ἐν τοῖς ὑπὲρ τῶν πολέμων δεδήλωται λόγοις.
in the about the wars has-been-shown accounts

10 ἀνύδρου γὰρ τοῦ χωρίου τὰ μάλιστα ὄντος, ὕδατός τε
waterless for the place the most being of-water both
ἀπορίᾳ πολλῇ πιεζομένου τοῦ Ῥωμαίων στρατοῦ, ἡ γῆ,
by-lack great pressed the of-Romans army the ground
πρότερον ἐπὶ ξηροῦ βεβαιότατα οὖσα, πηγὴν ἀνῆκεν, οὗ
formerly on dry most-securely being a-spring sent-up where
δὴ τὸ χαράκωμα οἱ στρατιῶται εἰργάζοντο.
indeed the palisade the soldiers were-making

11 οἱ μὲν γὰρ ὤρυσσον, ἡ δὲ ἀνεβλῦστανεν. ἥ τε γῆ
they indeed for were-digging it and gushed-up the both ground
αὐχμὸν ἀποβαλοῦσα τὸν ἐπιχώριον καὶ μεθαρμοσαμένη
drought having-cast-off the native and having-changed
τὴν αὐτῆς φύσιν ὕδατι ποτίμῳ ὑγρὰ ἐγεγόνει.
the its nature with-water drinkable wet had-become

ταύτῃ τε τὸ λοιπὸν ἐν ἐπιτηδείῳ στρατοπεδεύσαντές 12
thus both for-the rest in a-suitable(-way) having-encamped
τε καὶ αὐλισάμενοι, καὶ τῇ ὑστεραίᾳ ὡς ἐς τὴν μάχην
both and having-bivouacked and on-the next(-day) as for the battle
συσκευασάμενοι, ἵνα τὰ ἐν μέσῳ συντέμω, Λιβύην ἔσχον.
having-prepared that the-things in middle I-may-cut-short Libya they-held
μαρτυρίῳ τοίνυν διηνεκεῖ τὸ τοῦ θεοῦ δῶρον πιστούμενος 13
by-testimony therefore continual the of-the God gift confirming
Ἰουστινιανὸς βασιλεύς, ᾧ δὴ βουλομένῳ τὰ
Justinian emperor for-whom indeed wishing the
ἀμηχανώτατα εὔκολα γίνεται, ἐς πόλιν αὐτίκα μεταβιβάσαι
most-impossible(-things) easy become into a-city at-once to-change
τὸ χωρίον τοῦτο βεβούλευται, τείχει μὲν ἐρυμνήν, τῇ
the place this has-resolved with-wall indeed fortified in-the
δὲ ἄλλῃ κατασκευῇ ἐς πόλεως ὄγκον ὑπογεγραμμένην
and other construction to of-a-city dignity drawn
εὐδαίμονος, καὶ γέγονεν ἔργον τὸ τοῦ βασιλέως ἐνθύμημα.
prosperous and became a-deed the of-the emperor thought
τεῖχός τε γὰρ ἀποτετόρνευται καὶ πόλις, καὶ ἀγροῦ τύχη 14
a-wall both for has-been-rounded-off and a-city and of-a-field lot
ἐξαπιναίως ἀμείβεται.
suddenly is-exchanged
οἵ τε ἄγροικοι τὴν ἐχέτλην ἀπορριψάμενοι πολιτικῶς 15
the both rustics the plow-handle having-thrown-away like-citizens
βιοτεύουσιν, οὐκ ἄγροικον δίαιταν ἔτι, ἀλλ᾽ ἀστείαν
live not a-rustic life still but a-city(-one)
διαχειρίζοντες.
managing
ἐπεὶ καὶ ἀγοράζουσιν ἐνταῦθα διημερεύοντες, καὶ ὑπὲρ τῶν 16
since also they-do-business there spending-the-day and about the
σφίσιν ἀναγκαίων ἐκκλησιάζουσι, καὶ ἀγορὰν ἀλλήλοις
to-them necessary(-things) they-assemble and a-market with-one-another

συμβάλλουσι, τἄλλα τε ἅπαντα πράσσουσιν ὅσα δὴ
hold the-rest both all they-do as-many-as indeed
ἐς πόλεως ἀξίωμα ἥκει.
to of-a-city dignity belongs

17 Ταῦτα μὲν ἐν Βυζακίῳ τῷ ἐπιθαλασσίῳ πεποίηται.
these(-things) indeed in Byzacium the-one on-the-sea have-been-done
κατὰ δὲ τὴν μεσόγειαν ἐς τῆς χώρας τὰ ἔσχατα, ἵνα δὴ
in and the interior at of-the land the extremities where indeed
αὐτὴν βάρβαροι προσοικοῦσι Μαυρούσιοι, ἐπιτειχίσματα
it barbarians border-on Moors fortresses-against
κατ᾽ αὐτῶν πεποίηται δυνατώτατα, ἐξ ὧν δὴ οὐκέτι
against them have-been-made most-powerful from which indeed no-longer
οἷοί τέ εἰσι καταθεῖν τὴν Ῥωμαίων ἀρχήν.
able — are to-overrun the of-Romans empire

18 πόλεις τε γὰρ τὰς ἐνταῦθα οὔσας ἐν ἐσχατιᾷ τῆς
cities both for the there being in frontier of-the
χώρας ἑκάστῃ τείχεσιν ἐχυροῖς ἄγαν περιβαλών, αἷς
land each with-walls strong very having-surrounded of-which
αἱ προσηγορίαι Μάμμης τε καὶ Τελεπτή, Κούλουλις, καὶ
the names Mammes both and Telepte Cululis and
φρούριον τειχισάμενος, ὅπερ καλοῦσιν οἱ ἐπιχώριοι Αὐμετέρα,
a-fort having-walled which call the natives Aumetera
ἐχεγγύους ἐνταῦθα φρουροὺς στρατιωτῶν κατεστήσατο.
trustworthy there guards of-soldiers he-established

Justinian drove the Moors from the Aurasius in Numidia, walled the cities around it, and rebuilt Septum at the Pillars of Heracles. Procopius closes by saying that whoever finds what he has missed may add it.

Τρόπῳ δὲ τῷ αὐτῷ Νουμιδίων τῇ χώρᾳ τειχίσμασί τε 1
in-manner and the same of-Numidians to-the land with-walls both
καὶ στρατιωτῶν φυλακτηρίοις τὴν ἀσφάλειαν προσεποίησεν,
and of-soldiers with-garrisons the safety he-added
ὧνπερ ἕκαστα ἐρῶν ἔρχομαι.
of-which each(-thing) to-tell I-come
ὄρος ἐστὶν ἐν Νουμιδίᾳ, ὅπερ Αὐράσιον ἐπικέκληται, οἷον 2
a-mountain there-is in Numidia which Aurasius is-called such-as
δὴ γῆς τῆς οἰκουμένης ἑτέρωθι ὡς ἥκιστα ξυμβαίνει εἶναι.
indeed of-land the inhabited elsewhere as least it-happens to-be
τοῦτο γὰρ τὸ ὄρος οὐρανόμηκες μὲν ἐν τῷ ἀποτόμῳ 3
this for the mountain sky-high indeed in the sheer
ἀνέχει, ἐς περίμετρον δὲ ἡμερῶν διήκει μάλιστα ὁδῷ
rises to a-circumference and of-days it-reaches about by-a-journey
τριῶν. καὶ προσιόντι μὲν ἀπρόσβατόν ἐστιν, ἀνάβασιν
three and for-(one)-approaching indeed inaccessible it-is ascent
οὐδεμίαν ὅτι μὴ ἐν ἀποκρήμνῳ ἔχον.
none except — in a-precipitous(-place) having
ἄνω δὲ γενομένῳ γεώδης τε ἡ χώρα καὶ ὁμαλῆ τὰ 4
above and for-(one)-having-come earthy both the land and level the
πεδία καὶ ὁδοὶ προσηνεῖς, λειμῶνες εὔνομοι, παράδεισοι
plains and roads gentle meadows well-pastured gardens
κατάφυτοι δένδροις, ἀρώματα πάντα.
planted with-trees spices all

5 καὶ πηγαὶ μὲν ἀποβλύζουσαι τῶν τῇδε σκοπέλων, γαληνὰ
and springs indeed gushing-out from-the there crags calm
δὲ τὰ ὕδατα, καὶ ποταμοὶ πλήθει ῥοθίου ἐπικυρτούμενοι,
and the waters and rivers with-a-mass of-current arching
καὶ τὸ δὴ πάντων παραδοξότατον, τά τε λήια καὶ τὰ
and the indeed of-all most-incredible the both crops and the
δένδρα ἐν τούτῳ τῷ ὄρει διπλάσιον μεγέθους πέρι τὸν
trees in this the mountain double of-size about the
καρπὸν φέρουσιν ἢ ἐν Λιβύῃ τῇ ἄλλῃ πέφυκε γίνεσθαι.
fruit bear than in Libya the other it-is-natural to-be
6 τὰ μὲν οὖν ὄρους τοῦ Αὐρασίου ταύτῃ πῃ ἔχει.
the-things indeed then of-mountain the Aurasius thus somehow stand
Βανδίλοι δὲ αὐτὸ κατ᾽ ἀρχὰς εἶχον, οὓς δὴ Μαυρούσιοι
Vandals and it at beginning held whom indeed Moors
ἀφελόμενοι τῇδε ἱδρύσαντο.
having-taken-away there settled
7 Μαυρουσίους δὲ ἐξελάσας ἐνθένδε Ἰουστινιανὸς βασιλεύς,
Moors and having-driven-out thence Justinian emperor
τῇ ἄλλῃ προσεποίησε Ῥωμαίων ἀρχῇ.
to-the other added of-Romans empire
8 προνοήσας τε ὡς μὴ καὶ αὖθις οἱ βάρβαροι κακουργοῖεν
having-foreseen both that not also again the barbarians might-do-harm
ἐνταῦθα ἰόντες, πόλεις μὲν ἀμφὶ τὸ ὄρος ἐρήμους τε καὶ
there going cities indeed about the mountain deserted both and
ἀτειχίστους τὸ παράπαν εὑρὼν ἐτειχίσατο, ἔτι μέντοι
unwalled the whole having-found he-walled still however
καὶ φρούρια δύο, φυλακτήρια δὲ στρατιωτῶν διαρκῆ
also forts two garrisons and of-soldiers sufficient
ἐνταῦθα καταστησάμενος, οὐδεμίαν τοῖς ἐκείνῃ βαρβάροις
there having-established no for-the there barbarians
ἐλπίδα τῆς ἐπὶ τὸ Αὐράσιον ἐπιβουλῆς ἀπελείπετο.
hope of-the against the Aurasius plot he-left

ἐν δὲ πόλεσι ταῖς ἐπὶ Νουμιδίας τῆς ἄλλης κειμέναις 10
in and cities the in Numidia the other lying
ἀνανταγώνιστα ἐρύματα κατεστήσατο.
unassailable fortifications he-made
ταῦτα μὲν ὧδέ πη ἔσχε. 11
these(-things) indeed thus somehow were
Πόλις δέ πού ἐστιν ἐν τῇ νήσῳ Σαρδοῖ, ἣ νῦν Σαρδινία 12
a-city and somewhere there-is in the island Sardo which now Sardinia
καλεῖται. Τραϊανοῦ φρούριον αὐτὴν καλοῦσι Ῥωμαῖοι.
is-called of-Trajan fort it call Romans
ταύτην τειχήρη πεποίηται Ἰουστινιανός, οὐ πρότερον οὖσαν. 13
this walled made Justinian not before being
Ἐν δὲ Γαδείροις, κατὰ θάτερα τῶν Ἡρακλέους στηλῶν, ἐν 14
in and Gadira on the-other-side of-the of-Heracles pillars on
δεξιᾷ κατὰ τὴν Λιβύης ἀκτὴν φρούριον ἦν ποτε Σεπτὸν
right along the of-Libya coast a-fort there-was once Septum
ὄνομα, ὅπερ ἐδείμαντο μὲν ἐν τοῖς ἄνω χρόνοις Ῥωμαῖοι,
by-name which built indeed in the former times Romans
Βανδίλων δὲ οὐκ ἐπιμελουμένων καθεῖλεν ὁ χρόνος.
Vandals and not caring pulled-down the time
ὁ δὲ καθ' ἡμᾶς βασιλεὺς Ἰουστινιανὸς τείχει μὲν 15
the and in our-time emperor Justinian with-wall indeed
ἐρυμνόν, φυλακτηρίῳ δὲ ἰσχυρὸν κατεστήσατο.
fortified with-garrison and strong made
οὗ δὴ καὶ νεὼν ἀξιοθέατον τῇ θεοτόκῳ ἀνέθηκεν, 16
where indeed also a-church worth-seeing to-the God-bearer he-dedicated
ἀναψάμενος μὲν ἐπ' αὐτῆς τὰ τῆς πολιτείας προοίμια,
having-fastened indeed on it the of-the state preludes
παντὶ δὲ ἀνθρώπων τῷ γένει ταύτῃ ἄμαχον τὸ φρούριον
for-all and of-men the race thus unassailable the fort
τοῦτο ποιούμενος.
this making

17 Ἀλλὰ ταῦτα μὲν τοιαῦτά ἐστιν. ἀμφίλεκτον δὲ οὐδενὶ
but these(-things) indeed such are disputed and to-nobody
γέγονεν, ἀλλ᾽ ἔνδηλον ἀνθρώποις διαφανῶς πᾶσιν, ὡς ἐκ
has-been but clear to-men manifestly all that from
τῶν ἑώων ὁρίων ἄχρι ἐς δύοντά που τὸν ἥλιον, ἃ
the eastern borders up to setting somewhere the sun which
δὴ πέρατά ἐστι τῆς Ῥωμαίων ἀρχῆς, οὐκ ἐρύμασι
indeed ends are of-the of-Romans empire not with-fortifications
μόνοις, ἀλλὰ καὶ στρατιωτῶν φυλακτηρίοις Ἰουστινιανὸς
only but also of-soldiers with-garrisons Justinian
βασιλεὺς τὴν πολιτείαν ἐκρατύνατο.
emperor the state strengthened

18 ὅσα μὲν οὖν τῶν Ἰουστινιανοῦ οἰκοδομημάτων μαθεῖν
what-things indeed then of-the of-Justinian buildings to-learn
ἴσχυσα ἢ αὐτόπτης γεγενημένος ἢ τῶν θεασαμένων
I-was-able either eyewitness having-been or of-the-ones having-seen
αὐτήκοος, ὅση δύναμις τῷ λόγῳ ἐπῆλθον.
a-hearer as-far-as power in-the account I-have-gone-through

19 ἐξεπίσταμαι δὲ ὡς πολλά με καὶ ἄλλα παρῆλθεν εἰπεῖν
I-know-well and that many(-things) me also others have-passed-by to-tell
ἢ ὄχλῳ λαθόντα ἢ παντάπασιν ἄγνωστα μείναντα.
either by-crowd having-escaped-notice or altogether unknown having-remained

20 ὥστε ὅτῳ διὰ σπουδῆς ἔσται διερευνήσασθαί τε ἅπαντα
so-that for-whom in zeal it-will-be to-search-out both all
καὶ τῷ λόγῳ ἐνθεῖναι, προσέσται αὐτῷ τὰ δέοντα
and in-the account to-put-in it-will-fall to-him the needful(-things)
πεποιηκέναι καὶ φιλοκάλου κλέος ἀπενεγκεῖν.
to-have-done and of-a-lover-of-the-beautiful glory to-carry-off